18

HOMERI
ODYSSEAE CARMINA

CUM APPARATU CRITICO

EDIDERUNT

J. VAN LEEUWEN J. F.

ET

M. B. MENDES DA COSTA

EDITIO ALTERA
PASSIM AUCTA ET EMENDATA
ACCEDUNT TABULAE TRES

PARS POSTERIOR. Carm. XIII—XXIV.

LUGDUNI BATAVORUM
APUD A. W. SIJTHOFF
MCMVII.

HOMERI ODYSSEA

HOMERI

ODYSSEAE CARMINA

CUM APPARATU CRITICO

EDIDERUNT

J. VAN LEEUWEN J. F.

ET

M. B. MENDES DA COSTA

EDITIO ALTERA

PASSIM AUCTA ET EMENDATA

ACCEDUNT TABULAE TRES

PARS POSTERIOR. Carm. XIII–XXIV

LUGDUNI BATAVORUM

APUD A. W. SIJTHOFF

MDCCCXCVIII

ΟΔΥΣΣΕΙΑΣ ν.

Ὀδυσσέως ἀπόπλους παρὰ Φαιάκων (vs. 1—184) *καὶ ἄφιξις εἰς Ἰθάκην* (vs. 185 sqq.).

ὣς ἔφαθ᾽· οἳ δ᾽ ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ· 1 sq. = λ 333 sq.
κηληθμῷ δ᾽ ἔσχοντο κατὰ μέγαρα σκιόεντα.
τὸν δ᾽ αὖτ᾽ Ἀλκίνοος ἀπαμείβετο ᾽φώνησέν τε·
„ὦ Ὀδυσεῦ, ἐπεὶ ἷκε᾽ ἐμὸν ποτὶ χαλκοβατὲς δῶ 4^b cf. Α 426
ὑψερεφές, τῷ σ᾽ οὔ τι πάλιν πλαγχθέντα γ᾽ ὀίω 5 sq. cf. Α 59 sq.
ἂψ ἀπονοστήσειν, εἰ καὶ μάλα πολλὰ πέπονθας.
ὕμων δ᾽ ἀνδρὶ Ϝεκάστῳ ἐφιέμενος τάδε Ϝείρω,
ὅσσοι ἐνὶ μεγάροισι γερούσιον αἴθοπα Ϝοῖνον 8^b = Δ 259
αἰεὶ πίνετ᾽ ἐμοῖσιν, ἀκουάζεσθε δ᾽ ἀοιδοῦ·
Ϝείματα μὲν δὴ ξείνῳ ἐὺ ξεστῇ ἐνὶ χηλῷ
κεῖται καὶ χρυσὸς πολυδαίδαλος ἄλλα τε πάντα
δῶρ᾽, ὅσα Φαιήκων βουληφόροι ἐνθάδ᾽ ἔνεικαν·
ἀλλ᾽ ἄγε Ϝοι δῶμεν τρίποδα μέγαν ἠδὲ λέβητα 13^a = ϑ 389 cf. Ψ 537
ἀνδρακάς· ἧμες δ᾽ αὖτε ἀγειρόμενοι κατὰ δῆμον

Ulixis reditus in priore parte huius libri (vs. 1-184), quae olim post η 297 collocata erat (vid. ad η 248-251), ab antiquissimo poeta (vid. ad α 88 sqq.) ad finem perducitur.

1-25] del. KLKayser.

2 *κηληθμῷ*] vid. ad λ 334.

4 *ἷκε᾽* § 117] *ἷκευ* mss. (*ἤλθες* K). ‖ *χαλκοβατὲς δῶ*] *Iovis* aedes sic dicuntur Α 426 Ξ 173 Φ 438, 505, *Vulcani* ϑ 321. *Aeneum solum* videtur significari (cf. Δ 2); de aeneo *limine* (η 83, 89 Θ 15) dictum accipiunt alii, vid. schol. Ξ 173 et Helbig Hom. Epos[1] p. 75.

5 *σ᾽*] *γ᾽* F^2 Z, *δ᾽* G^1. ‖ *γ᾽*] om. H^3 mss. alia, *σ᾽* F^2.

7 *ὕμων* § 92] *ὑμέων* (*ἡμέων*) mss. ‖ *ἐφιέμενος*] *mandans*; verbum redit Ψ 82, ibi quoque cum verbo *Ϝείρειν* iunctum, et Ω 300. ‖ *Ϝείρω*] vid. ad β 162.

8 *γερούσιον*] cf. Δ 259.

10-12] addidit aut mutavit diasceuasta, respicitur enim locus ϑ 389 sqq., 417 sqq.

11 *πάντα*] *πολλὰ* n.

13 *δῶμεν*] cf. ϑ 389. ‖ *ἠδὲ*] *ἠὲ* Eust.

14 *ἀνδρακάς*] *viritim*. Adv. †; a veteribus conferuntur *ἑκάς ἄγκας ἐντυπάς* (Ω 163), aliter

τισόμεϑ᾽· ἀργαλέον γὰρ ἕνα προῖκος χαρίσασϑαι.“
ὣς ἔφατ᾽ Ἀλκίνοος· τοῖσιν δ᾽ ἐπεϝάνδανε μῦϑος. 16 cf. π 406 σ 50, 290 υ 247 φ 148, 269
οἳ μὲν κακκείοντες ἔβαν ϝοῖκόνδε ϝέκαστος·
ἦμος δ᾽ ἠριγένεια ᾽φάνη ῥοδοδάκτυλος Ἠώς, 17 = Α 606
νῆάδ᾽ ἐπεσσεύοντο, ᾽φέρον δ᾽ εὐήνορα χαλκόν.] 18 = Α 477 / 19ᵇ cf. δ 622
καὶ τὰ μὲν εὖ κατέϑηχ᾽ ἱερὸν μένος Ἀλκινόοιο,
αὐτὸς ἰὼν διὰ νηός, ὑπὸ ζυγά, μή τιν᾽ ἑταίρων
βλάπτοι ἐλαυνόντων, ὁπότε σπερχοίατ᾽ ἐρετμῷ·
οἳ δ᾽ εἰς Ἀλκινόοι᾽ ἔκιον καὶ δαῖτ᾽ ἀλέγυνον.
τοῖσι δὲ βοῦν ἱέρευσ᾽ ἱερὸν μένος Ἀλκινόοιο
Ζηνὶ κελαινεφέι Κρονίδῃ, ὃς πᾶσι ϝανάσσει. 25 = ι 552
μῆρα δὲ κήαντες ᾽δαίνυντ᾽ ἐρικυδέα δαῖτα 26ᵇ = Ω 802
τερπόμενοι· μετὰ δέ σφιν ἐμέλπετο ϑεῖος ἀοιδός, 27 = Σ 604
Δημόδοκος, λαοῖσι τετιμένος. 28ᵃ cf. ϑ 472
αὐτὰρ Ὀδυσσεὺς
πολλὰ πρὸς ἠέλιον κεφαλὴν ᾽τρέπε παμφανάοντα,
δύμεν᾽ ἐπειγόμενος· δὴ γὰρ ᾽μενέαινε νέεσϑαι.
ὡς δ᾽ ὅτ᾽ ἀνὴρ δόρποιο λιλαίεται, ᾧ τε πανῆμαρ
νειὸν ἀν᾽ ἕλκητον βόε ϝοίνοπε πηκτὸν ἄροτρον· 32 cf. Κ 353 Ν 703

Apoll. lex.; propius accedunt εὐράξ μουνάξ (ϑ 371 λ 417) ὀδάξ. Fuere qui ἄνδρα κάϑ᾽ scriberent, Phrynichum autem pro substantivo (= ἀνδρῶν δεκάς!) habuisse (cf. π 245) referunt schol. et Eust. || ἧμες § 92] ἡμεῖς mss.

14 sq. ἀγειρόμενοι ... τισόμεϑ᾽] *pro nobis colligentes reparabimus*. Sic Eust.; alii ἀγειρόμενοι sensu reflexivo (= *congregati*) accipiunt.

15 προῖκος] *gratis*; Att. προῖκα. Vox ρ 413 recurrit, cohaerent προΐκτης *qui gratis aliquid sibi expetit* (*mendicus*) ρ 352, 449 et futurum καταπροΐξομαι (Archil. fr. 90), Att. καταπροίξομαι (Ar. Eq. 435 Nub. 1240 etc.).

16 ἐπεϝάνδανε] ἐπιήνδανε mss. || μῦϑος] ϑυμῷ P H[1] mss. alia.

17 sq.] del. Scotland.

19 νῆάδ᾽] sic (νῆα δὲ) Ar., νῆ᾽ ἄρ᾽ vel νῆά ῥ᾽ G P H mss. alia. Cf. Σ 575 (Β 150). || εὐήνορα] cf. δ 622.

21 τιν᾽] τις P H[1].

22 ἐρετμῷ Nauck] -τμοῖς mss.; vid. § 60 et ad δ 580.

23 Ἀλκινόοι᾽ ἔκιον] -οιο κίον mss.; cf. § 59.

24 ἱέρευσ᾽] ἱέρευ᾽ P n.

25] del. Duentzer.

26 κήαντες Ar.] κείαντες mss. pleraque.

27 ἐμέλπετο] si delentur vss. spurii Σ 604 δ 18 (ubi vid.), verbum μέλπομαι nonnisi h. l. *canendi* sensu usurpatur, cf. tamen h. Merc. 476 et XIX 21 sqq.; substantivum verb. μολπή quid significet Α 472 dubitari potest, vid. etiam ad Σ 606. Ar. quid de hoc vs. statuerit nescimus; „an legit ἐδαίνυντο?" (Friedlaender Ariston. p. 54). || ϑεῖος] δῖος L W mss. alia.

29 παμφανάοντα § 191] -νόωντα mss.

30 δύμεν᾽ § 125] δῦναι mss. || ἐπειγόμενος] -νον l; Nauck ἐπευχόμενος, Wansink ἐϝελδόμενος (coll. δ 162 μ 438). || δή] δὴν Nauck (sic Zen. κ 160).

31 πᾰνῆμαρ] alias πᾶν ἦμαρ (Α 592 Σ 453), quapropter Aristophanes hic quoque pro duobus vocabulis habebat, non recte. In compositis corripitur παν- (cf. πρόπᾰν ἦμαρ Α 601 et adi. πᾰνημέριος), eadem autem ratione composita sunt αὐτῆμαρ, ποσσῆμαρ (Ω 657), ϝεξῆμαρ, ἐννῆμαρ.

32 βόε] cf. Η 333. || πηκτὸν] cf. Κ 353.

ἀσπασίως δ' ἄρα τῷ κατέδυ φάος ἠελίοιο
δόρπον ἐποίχεσθαι, βλάβεται δέ τε γούνατ' ἰόντι· 34ᵇ = *T* 166
ὣς Ὀδυσῆ' ἀσπαστὸν ἔδυ φάος ἠελίοιο. 35ᵃ = ε 398
αἶψα δὲ Φαιήκεσσι φιληρέτμοισι μετηύδα, 36 = ϑ 96
Ἀλκινόῳ δὲ μάλιστα πιφαυσκόμενος 'φάτο μῦθον·
„Ἀλκίνοε κρεῖον, πάντων ἀριδείκετε λαῶν, 38 = ϑ 382
πέμπετέ με σπείσαντες ἀπήμονα, χαίρετε δ' αὐτοί.
ἤδη γὰρ τετέλεσται ἅ μοι φίλος ἤθελε θυμός,
πομπὴ καὶ φίλα δῶρα, τά μοι θεοὶ Οὐρανίωνες 41ᵃ = ϑ 545
ὄλβια ποιήσειαν· ἀμύμονα δ' οἶκοι ἄκοιτιν
νοστήσας εὕροιμι σὺν ἀρτεμέεσσι φίλοισι.
ὕμες δ' αὖθι μένοντες ἐυφραίνοιτε γυναῖκας
κουριδίας καὶ τέκνα· θεοὶ δ' ἀρετὴν ὀπάσειαν
παντοίην, καὶ μή τι κακὸν μεταδήμιον εἴη."
ὣς ἔφαθ'· οἳ δ' ἄρα πάντες ἐπήνεον ἠδ' ἐκέλευον 47 sq. = η 226 sq.
πεμπέμεναι τὸν ξεῖνον, ἐπεὶ κατὰ μοῖραν ἔϝειπε.
καὶ τότε κήρυκα προσέφη μένος Ἀλκινόοιο· 49-51ᵃ = η 178 sqq.
„Ποντόνοε, κρητῆρα κερασσάμενος μέθυ νεῖμον
πᾶσιν ἀνὰ μέγαρον, ὄφρ' εὐξάμενοι Διὶ πατρὶ
τὸν ξεῖνον πέμπωμεν ἑϝὴν εἰς πατρίδα γαῖαν."
ὣς 'φάτο· Ποντόνοος δὲ μελίφρονα ϝοῖνον ἐκίρνα, 53 sq.ᵃ = η 182 sq.
'νώμησεν δ' ἄρα πᾶσιν ἐπισταδόν· οἳ δὲ θεοῖσι 54 = σ 425
ἔσπεισαν μακάρεσσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσι, 55ᵃ cf. σ 426
αὐτόθεν ἐξ ἑδέων. ἀνὰ δ' ἵστατο δῖος Ὀδυσσεύς, 56ᵃ cf. *T* 77 φ 420
Ἀρήτῃ δ' ἐν χειρὶ 'τίθει δέπας ἀμφικύπελλον,
καί μιν φωνήσας ϝέπεα πτερόεντα προσηύδα·
„χαῖρέ μοι, ὦ βασίλεια, διαμπερές, εἰς ὅ κε γῆρας

---

33 ἀσπασίως] l. a. ἀσπάσιος, immo ἀσπάσιον, quod verum videtur, cf. ν 35 ψ 233 alibi; ἀσπασίῳ Cobet coll. *Ξ* 108, vid. etiam ε 397 et ad *Σ* 270.

34 βλάβεται] cf. § 244.

35 Ὀδυσῆ'] vid. ad ε 398.

41-43] del. PKnight.

42 οἶκοι] neglecto ϝ; in G P est οἶκον, Fick ἔνδον (cf. *Z* 374 etc.).

44 ὕμες § 92] ὑμεῖς mss.

46 μεταδήμιον] cf. ϑ 293.

48] del. Duentzer.

50 νεῖμον] νεῖμαι M[1].

52 ἑϝήν] quae Apoll. Pron. p. 60 (loco corrupto) de hoc versu dicere videtur ad *Γ* 244 spectare apparet coll. Synt. p. 157. Vid. Ludwich Arist. I p. 1.

53 ἐκίρνα] -ρνη? vid. § 195.

56 ἑδέων l. a. apud Eust.] ἑδρέων mss. male, cf. *Α* 534, 581 et § 56; vid. praeterea *Ι* 194. Cum vitiosa lectione concinit versus spurius *T* 77. ‖ δῖος] θεῖος F.

57 χειρὶ G F[1] P H X n] χερσὶ F[2] M U; de singulari vid. ad γ 51.

ἔλθῃ καὶ θάνατος, τά τ' ἐπ' ἀνθρώποισι πέλονται.
αὐτὰρ ἐγὼ νέομαι· σὺ δὲ τέρπεο τῷδ' ἐνὶ ϝοίκῳ
παισί τε καὶ λαοῖσι καὶ Ἀλκινόῳ βασιλῆι."
ὣς ϝειπὼν ὑπὲρ οὐδὸν ἐβήσετο δῖος Ὀδυσσεύς.
τῷ δ' ἅμα κήρυκα προΐει μένος Ἀλκινόοιο,
ἡγεῖσθαι ἐπὶ νῆα θοὴν καὶ θῖνα θαλάσσης. 65b = δ 779
Ἀρήτη δ' ἄρα ϝοι δμῳὰς ἅμ' ἔπεμπε γυναῖκας,
τὴν μὲν φᾶρος ἔχουσαν ἐυπλυνὲς ἠδὲ χιτῶνα, 67 cf. ϑ 392
τὴν δ' ἑτέρην χηλὸν πυκινὴν ἅμ' ὄπασσε κομίζειν·
ἣ δ' ἄλλη σῖτόν τ' ἔφερεν καὶ ϝοῖνον ἐρυθρόν.
αὐτὰρ ἐπεί ῥ' ἐπὶ νῆα κατήλυθον ἠδὲ θάλασσαν, 70 = β 407
αἶψα τά γ' ἐν νηὶ γλαφυρῇ πομπῆες ἀγανοὶ
δεξάμενοι κατέθεντο, πόσιν καὶ βρῶσιν ἅπασαν·
κὰδ δ' ἄρ' Ὀδυσσῆι 'στόρεσαν ῥῆγός τε λίνον τε
νηὸς ἐπ' ἰκριόφιν γλαφυρῆς, ἵνα νήγρετον εὕδοι, 74a = γ 353
πρυμνῆς. ἂν δὲ καὶ αὐτὸς ἐβήσετο καὶ κατέλεκτο
σιγῇ· τοὶ δὲ καθῖζον ἐπὶ κληῖδι ϝέκαστος
κόσμῳ, πεῖσμα δ' ἔλυσαν ἀπὸ τρητοῖο λίθοιο.
ἔνθ' οἳ ἀνακλινθέντες ἀνέρριπτον ἅλα πηδῷ· 78b cf. η 328
καὶ τῷ ϝήδυμος ὕπνος ἐπὶ βλεφάροισιν ἔπιπτε,
νήγρετος ἥδιστος, θανάτῳ ἄγχιστα ϝεϝοικώς.

---

61 *ϝοίκῳ*] *χώρῳ* P H mss. alia (cf. κ 271).

63 *ἐβήσετο* F M] *-σατο* mss. multa.

64 *ἅμα*] *ἄρα* M mss. alia.

66-69] del. Duentzer.

66 *δμῳὰς*] fuitne olim **δοίας*? vid. ad vs. 69. Certus numerus comitum (duo) talibus locis indicari solet, vid. *Β* 822 *Γ* 143 *Σ* 525 etc. et ad β 11. ‖ *γυναῖκας*] *νέεσθαι* Ar. in ed. altera (sic H²), item Did., non recte (vid. ad *Φ* 48).

68 *ὄπασσε*] *ἔπεμπε* F P M mss. alia.

69] de *tertia aliqua* ancilla fit sermo, plures igitur adfuisse apparet. Sed probabilis est opinio Kirchhoffii, veterem poetam pro versibus 68 sq. dedisse *ἣ δ' ἑτέρη σῖτόν τ' ἔφερεν καὶ ϝοῖνον ἐρυθρόν*, diasceuastam vero locum refinxisse, ne capsa (cf. ϑ 424 sqq.) videretur relinqui. ‖ *ἣ δ' ἄλλη ... ἔφερεν*] *ἣ δ' ἄλλη ... ἔφερον* P, *αἳ δ' ἄλλαι ... ἔφερον* l.

71 sq.] om. W q, del. Duentzer.

72 *ἅπασαν*] *ἅπασι(ν)* Naber.

75 *ἐβήσετο*] *-σατο* G H² n.

76 *ἐπὶ κληῖδι*] vid. ad β 419. ‖ **κληῖδι ϝέκαστος*] *κληῖσιν ἕκαστοι* mss., *κληῖσιν ἕκαστος* HStephanus; cf. *Ι* 656 et ad *Ω* 1 β 258.

77 *τρητοῖο*] vid. ad *Γ* 448.

78 *ἔνθ'*] *εὖθ'* mss. pleraque, vid. ad γ 9. ‖ *ἀνέρριπτον* PKnight] *ἀνερρίπτουν* mss.; cf. η 328. Non extat *ῥιπτέω*, sed vid. § 44¹.

79] coll. η 318 ϑ 444 in schol. recte observatur proprium fuisse navibus Phaeacum ut obdormiscerent homines quos vehebant. Longam et inutilem *λύσιν* Heraclidis Pontici huc pertinentem afferunt scholia ν 119, alia eaque perabsurda habet Plut. Mor. 27*e*. ‖ *ϝήδυμος* § 41] *νήδυμος* mss.

80] del. Fick; vertit Verg. Aen. VI 522: *dulcis et alta quies placidaeque simillima morti*. ‖ *ἥδιστος*] adi. suspectum propter praegressum *ϝήδυμος* et neglectum ϝ.

ἡ δ', ὥς τ' ἐν πεδίῳ τετράοροι ἄρσενες ἵπποι
πάντες ἅμ' ὁρμηθέντες ὑπὸ πληγῇσιν ἱμάσθλης
ὑψόσ' ἀειρόμενοι ῥίμφα πρήσσουσι κέλευθον, 83 cf. Ψ 501
ὣς ἄρα τῆς πρῴρη μὲν ἀείρετο, κῦμα δ' ὄπισθε
πορφύρεον μέγ' ἔθυε πολυφλοίσβοιο θαλάσσης.
ἡ δὲ μάλ' ἀσφαλέως ἔθε' ἔμπεδον· οὐδέ κεν ἴρηξ 86ª cf. Ν 141
κίρκος ὁμαρτήσειεν, ἐλαφρότατος πετεηνῶν. 87 cf. Χ 139
ὣς ἡ ῥίμφα θέουσα θαλάσσης κύματ' ἔταμνε,
ἄνδρα φέρουσα θεοῖσ' ἐναλίγκια μήδε' ἔχοντα·
ὃς πρὶν μὲν μάλα πολλὰ 'πάθ' ἄλγεα Ϝὸν κατὰ θυμὸν, 90ᵇ = α 4
ἀνδρῶν τε πτολέμους ἀλεγεινά τε κύματα πείρων, 91 = Ω 8
δὴ τότε γ' ἀτρέμας ηὗδε, λελασμένος ὅσσ' ἐπεπόνθει.
εὖτ' ἀστὴρ ὑπερέσχε φαέντατος, ὅς τε μάλιστα
ἔρχεται ἀγγελέων φάος ἠόος ἠριγενείης,
τῆμος δὴ νήσῳ προσεπίλνατο ποντοπόρος νηῦς.
Φόρκυνος δέ τις ἔστι λιμὴν ἁλίοιο γέροντος 96 cf. 345
ἐν δήμῳ Ἰθάκης· δύο δὲ προβλῆτες ἐν αὐτῷ
ἀκταὶ ἀπορρῶγες, λιμένος πότι πεπτηυῖαι,
αἵ τ' ἀνέμων σκεπάουσι δυσαήων μέγα κῦμα

81-85] del. Grashof. Locum imitatur Verg. Aen. V 144-147. Simili metaphora naves dicuntur ἁλὸς ἵπποι δ 708.

81 *τετράοροι*] †, vid. ad *K* 499 et de quadrigis ad *O* 680.

83 *ῥίμφα πρήσσουσι*] l. a. *διαπρήσσουσι* (?). De verbi structura vid. ad *Α* 483.

84-87] del. Duentzer, vs. 86 sq. EHFriedlaender.

84 *πρῴρη* Rochefort] *πρύμνη* mss. (*πρύμνης* H[1]), quae lectio imagini repugnat. Non currens navis pingitur — cuius prora mergitur dum rapido impetu fluctus secat — sed iter iniens et veluti animal se erigens ut in mare se coniciat. Veterum autem naves *ἀμφιϜέλισσαι* aptius quam hodierna navigia cum equo vel cycno pectore undas propellenti potuerunt comparari. — Vox *πρῴρη* extat *μ* 230, ubi adi. est; cf. *πρυμνός* *E* 292 etc., cuius femininum *πρύμνη* substantivi vice fungitur *Α* 409 etc.

85 *μέγ' ἔθυε*] *μέγα θῦε* mss.

86 **ἔθε'*] *θέεν* mss.

89 *θεοῖσ' ἐναλίγκια*] *θεοῖσιν ἀλίγκια* Nauck (cf. *Z* 401 *θ* 174). ‖ *θεοῖσ'*] vid. ad *P* 51.

92 *δὴ τότε*] *at tunc*. Item *N* 441 *P* 410 *Υ* 411 *ο* 228 *ρ* 296 *χ* 186.

93 *φαέντατος* § 88 et 280] *φαάντατος* mss.; superl. †.

94] cf. *B* 49. ‖ *ἀγγελέων* schol. *X* 318] *ἀγγέλ(λ)ων* mss., item *π* 459; verum superest *σ* 186 (= *χ* 496), vid. praeterea *Ξ* 355 *κ* 245 *ο* 41 *π* 329. ‖ *ἠόος* § 77] *ἠοῦς* mss.

96-104] imitatur Verg. Aen. I 159-169.

96 *Φόρκυνος... λιμὴν*] portus etiam vs. 345 commemoratur, Phorcyn *α* 72.

97 *ἐν αὐτῷ*] **ἐπ' αὐτῷ*? Non enim *in* sinu sed *ante* sinum, id est ab utroque sinus cornu, hae rupes esse debuerunt ut *obiectu laterum frangerent undam* (vid. Verg. Aen. I 159 sq.).

98 *ἀπορρῶγες*] *praefractae*. Singularis substantivi vicem obit, vid. *B* 755 et cf. *ῥῶγες* *χ* 143.

99 *σκεπάουσι* § 191] *-πόωσι* mss. Verbum † (Att. *σκεπάζειν*, vid. § 144); cf. *σκέπας* *ε* 443 etc., *ἀνεμοσκεπής* *Π* 224. ‖ *δυσαήων*] suspicionem movet sonus *η*, etsi fortasse comparandae sunt formae eiusdem radicis *ἀήμεναι*

ἔκτοθεν· ἔντοσθεν δὲ ἄνευ δεσμοῖο μένουσι
νῆες ἐύσσελμοι, ὅτε χ' ὅρμου μέτρον ἵκωνται.
αὐτὰρ ἐπὶ κρατὸς λιμένος τανύφυλλος ἐλαίη, 102^{a} = ι 140
ἀγχόθι δ' αὐτῆς ἄντρον ἐπήρατον ἠεροϝειδές, 102^{b}-104 = 346 sqq.
ἱρὸν νυμφάων, αἳ νηιάδες καλέονται.
ἐν δὲ κρητῆρές τε καὶ ἀμφιφορῆες ἔασι
λάινοι, ἔνθα δ' ἔπειτα τιθαιβώσσουσι μέλισσαι·
ἐν δ' ἱστοὶ λίθεοι περιμήκεες, ἔνθα τε νύμφαι
φάρε' ὑφαίνουσιν ἁλιπόρφυρα, θαῦμα ϝιδέσθαι· 108 cf. ζ 306
ἐν δ' ὕδατ' αἰενάοντα. δύω δέ τέ ϝοι θύραι εἰσί,
αἱ μὲν πρὸς Βορέαο καταιβαταὶ ἀνθρώποισι,
αἱ δ' αὖ πρὸς Νότου εἰσὶ θεώτεραι· οὐδέ τι κείνῃ
ἄνδρες ἐσέρχονται, ἀλλ' ἀθανάτων ὁδός ἐστι.
ἔνθ' οἵ γ' εἰσέλασαν, πρὶν ϝειδότες· ἡ μὲν ἔπειτα
ἠπείρῳ ἐπέκελσεν, ὅσον τ' ἐπὶ ἥμισυ πάσης, 114^{b} cf. Γ 12
σπερχομένη· τοίων γὰρ ἐπείγετο χέρσ' ἐρετάων.
οἱ δ' ἐκ νηὸς βάντες ἐυζύγου ἤπειρόνδε
πρῶτον 'Οδυσσῆα γλαφυρῆς ἐκ νηὸς ἄειραν

---

et *ἀήμενος* (§ 195 et 197), praeterea cf. *ζαήν* μ 313. Adi. *δυσαής* extat *E* 865 etc.

100 *δὲ* F] *δέ τ'* mss. pleraque.

101 *ὅτε χ'* § 326] *ὅτ' ἂν* mss.

102 *ἐπὶ κρατὸς λιμένος*] vid. ad ι 140. || *τανύφυλλος*] *obliquans folia*; cf. Helbig Hom. Epos[1] p. 134. Epitheton redit ν 346 (ubi vid.) ψ 190, 195.

103-112] huiuscemodi antrum in Ithaca extare negat Strabo I p. 59, affirmant viatores hodierni, cf. OSchuchhardt Schliemann's Ausgrabungen etc. 1890 p. 346, RMenge Zeitschr. f. Gymnasialwesen 1891 p. 57 sq. — Pulcherrimis his versibus corpus humanum allegorice pingi nugatur Porphyrius in schol. et fusius apud Eust. 1734,61 sqq.

103 *ἀγχόθι*] *ἐγγύθι* Etym. M. 115,1, quod verum videtur; cf. § 318.

106 *τιθαιβώσσουσι*] verbum † et propter formam memorabile; cf. *ἀγρώσσω* ε 53. Cohaeretne Atticum *τιθασός*? at significantur apes agrestes in rupium rimis habitantes, ut *B* 87 *M* 167; apes cicures non norunt poetae Homerici, primus descripsit Hes. Theog. 594 sqq. Cf. Hehn Culturpfl.[4] p. 111.

107] cf. ε 62.

108 *ἁλιπόρφυρα*] cf. ζ 53.

109 *ὕδατ'*] pluralis †. || *αἰενάοντα* U] *αἰεινάοντα* W, *ἀεν(ν)άοντα* mss. pleraque. Adi. †, notetur autem *αἰε-* † pro *αἰεί* vel *αἰέν*. Componenda videntur *Αἰγύπτιος* et similia, vid. § 28. Adiectivo *ἀέναος* *perennis* utuntur Aristoph. Nub. 275, Plat. Phaedon. 111 *d*, Theocrit. XV 102. || *δύω ... θύραι*] imitari videntur Soph. Philoct. 16, Eur. Cycl. 707, Quint. Smyrn. VI 484.

110 *καταιβαταί*] †; cf. § 315.

111 *θεώτεραι*] comparativus †, a subst. *θεός* ductus et cum *δρέστερος* similibusque comparandus; vid. § 88. || *κείνῃ*] l. a. *κεῖσε*.

112 *ἄνδρες ἐσέρχονται*] *ἄνερες ἔρχονται* U[2].

113 *ϝειδότες*] perperam schol. et Dion. Hal. de Hom. poes. 7 contendunt pro infinitivo adhibitum esse participium (*priusquam scirent*).

114 *ἐπέκελσεν*] vid. ad ι 148.

115 *τοίων*] *τοῖον* P X mss. alia, fortasse recte. || *χέρσ'*] *χεὶρ* F, *χεῖρ'* O Z.

116 *ἐυζύγου*] vid. ad *B* 293.

αὐτῷ σύν τε λίνῳ καὶ ῥήγεϊ σιγαλόεντι,
κὰδ δ' ἄρ' ἐπὶ ψαμάθῳ ἔθεσαν δεδμημένον ὕπνῳ·
ἐκ δὲ κτήματ' ἄειραν, ἅ Ϝοι Φαίηκες ἀγαυοὶ
ὤπασαν οἴκαδ' ἰόντι διὰ μεγάθυμον Ἀθήνην. 121^a = 305; 121^b = ϑ 520
καὶ τὰ μὲν οὖν παρὰ πυθμέν' ἐλαίης ἀθρό' ἔθηκαν
ἐκτὸς ὁδοῦ, μή πώς τις ὁδιτάων ἀνθρώπων
πρὶν Ὀδυσῆ' ἐγρέσθαι ἐπελθὼν δηλήσαιτο·
αὐτοὶ δ' αὖ Ϝοικόνδε πάλιν 'κίον.

οὐδ' ἐνοσίχθων 125^b-127^a cf. Α 318^b sq.
'λήθετ' ἀπειλάων, τὰς ἀντιθέῳ Ὀδυσῆι
πρῶτον ἐπηπείλησε· Διὸς δ' ἐξείρετο βουλήν· 127^b = Υ 15
„Ζεῦ πάτερ, οὐκέτ' ἐγώ γε μετ' ἀθανάτοισι θεοῖσι
τιμήεις ἔσομαι, ὅτε με βροτοὶ οὔ τι τίουσι,
Φαίηκες, τοί πέρ τε ἐμῆς ἔξ εἰσι γενέθλης.
καὶ γὰρ νῦν Ὀδυσῆα 'φάμην κακὰ πολλὰ παθόντα
Ϝοίκαδ' ἐλεύσεσθαι· — νόστον δέ Ϝοι οὔ ποτ' ἀπέϜραν
πάγχυ, ἐπεὶ σὺ πρῶτον ὑπέσχεο καὶ κατένευσας· — 133^b = ο 374
οἳ δ' εὕδοντ' ἐν νηὶ θοῇ ἐπὶ πόντον ἄγοντες 134 sq. cf. π 229 sq.
κάτθεσαν ἐν Ἰθάκῃ, ἔδοσαν δέ Ϝοι ἀγλαὰ δῶρα,
χαλκόν τε χρυσόν τε Ϝάλις Ϝεσθῆτά θ' ὑφαντήν, 136 = π 231 cf. ι 38
πόλλ', ὅσα κ' οὐδέ ποτε Τροίης ἒξ ἤρετ' Ὀδυσσεύς, 137 sq. = ι 39 sq.
εἴ περ ἀπήμων ἦλθε, λαχὼν ἀπὸ ληίδος αἶσαν."
τὸν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·
„ὢ πόποι, ἐνοσίγαι' εὐρυσθενὲς, οἷον ἔϜειπες. 140 = Η 455

---

118 σύν] insolite additur, ut Ι 194.
119 ἔθεσαν] ἐ θέσαν Grashof.
120 κτήματ'] χρήματ' M L W.
121 οἴκαδ'] neglecto Ϝ; Nauck Ϝοίκαδ' ὄπασσαν.
122 ἀθρό' ἔθηκαν] ἀθρόα θῆκαν (-κεν) mss.
123 πως G F H^2] πω Ar. P H^1 X, που M. Cf. vs. 208. || ὁδιτάων ἀνθρώπων] vid. ad Π 263.
124 πρὶν] sic Ar.
125-137] del. FMeister.
125 αὖ U] αὖτ' mss. cett.
127 ἐξείρ.] ἐξήρ. F M mss. alia; cf. § 264.
129 ὅτε] ὅτι G F^1 X mss. alia male; vid. ad β 314.
130 τε] τοι F mss. alia.
131 νῦν] δὴ P. || Ὀδυσῆα 'φάμην] -σῆ' ἐφάμην P mss. alia.
132 ἀπέϜραν § 150] ἀπηύρα F^1, ἀπηῦρον F^2, ἀπηύρων mss. pleraque.
133] del. PKnight. || πάγχυ, ἐπεὶ] hiatus notabilis, vid. § 15.
135 ἐν G^2 F M] εἰν mss. pleraque; cf. § 315. || ἔδοσαν] ἔπορον Duentzer coll. π 230. || ἀγλαὰ P H] ἄσπετα G F M (ut υ 342). Cf. π 230.
136] del. Nitzsch (ad ι 37).
137 ὅσα κ' § 326] ὅσ' ἂν mss. || ἒξ ἤρετ' § 284] ἐξήρατ' mss.
140 ἐνοσίγαι' X i] ἐννοσ. mss. cett.; cf. § 21. || εὐρυσθενὲς] vid. ad Η 455.

οὔ τί σ' ἀτιμάζουσι θεοί· χαλεπὸν δέ κεν εἴη
πρεσβύτατον καὶ ἄριστον ἀτιμίησιν ἰάλλειν.
ἀνδρῶν δ' εἰ πέρ τίς σε βίῃ καὶ κάρτεϊ Ϝείκων — 143ᵇ = σ 139
οὔ τι τίει, σοὶ δ' ἔστι καὶ ἐξοπίσω τίσις αἰεί.
Ϝέρξον ὅπως ἐθέλεις καί τοι φίλον ἔπλετο θυμῷ." — 145ᵃ = Δ 37, 145ᵇ = Ξ 337
τὸν δ' ἠμείβετ' ἔπειτα Ποσειδάων ἐνοσίχθων·
„αἶψά κ' ἐγὼ Ϝέρξαιμι, κελαινεφές, ὡς ἀγορεύεις·
ἀλλὰ σὸν αἰεὶ θυμὸν ὀπίζομαι ἠδ' ἀλεείνω.
νῦν αὖ Φαιήκων ἐθέλω περικαλλέα νῆα — 149 cf. ϑ 567
ἐκ πομπῆς ἀνιοῦσαν ἐν ἠεροϜειδέι πόντῳ — 150 = ϑ 568
ῥαῖσαι, ἵν' ἤδη σχῶνται, ἀπολλήξωσι δὲ πομπῆς
ἀνθρώπων, μέγα δέ σφιν ὄρος πόλι' ἀμφικαλύψαι." — 152 cf. ϑ 569 ν 158
τὸν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·
„ὦ πέπον, ὡς μὲν ἐμῷ θυμῷ δοκεῖ ἔμμεν' ἄριστα· — 154ᵇ cf. Ι 103
ὁππότε κεν δὴ πάντες ἐλαυνομένην προϜίδωνται
λαοὶ ἀπὸ πτόλιος, θέμεναι λίθον ἐγγύθι γαίης
νηὶ θοῇ Ϝίκελον, ἵνα θαυμάζωσιν ἅπαντες
ἄνθρωποι, μηδέ σφιν ὄρος πόλι' ἀμφικαλύψαι." — 158 cf. ϑ 569 ν 152
αὐτὰρ ἐπεὶ τό γ' ἄκουσε Ποσειδάων ἐνοσίχθων, — 159 = Υ 318
βῆ ῥ' ἴμεν' εἰς Σχερίην, ὅθι Φαίηκες γεγάασι.
ἔνθ' ἔμεν'· ἡ δὲ μάλα σχεδὸν ἤλυθε ποντοπόρος νηῦς
ῥίμφα διωκομένη· τῆς δὲ σχεδὸν ἦλθ' ἐνοσίχθων,
ὅς μιν λᾶαν ἔθηκε καὶ ἐρρίζωσεν ἔνερθε — 163ᵃ cf. Β 319

142] del. PKnight. ‖ πρεσβύτατον] *natu maximum*. In schol. coll. Δ 56 accipitur *honoratissimus*, quoniam Iuppiter est senior (cf. Ν 355); at idem honoratior quam Neptunus. Vid. ad Δ 59. ‖ ἀτιμίησιν] †; de sono ι cf. § 54.

145] om U¹.

147 ἀγορεύεις] σὺ κελεύεις GX mss. alia (cf. δ 485).

149 περικαλλέα] ἐνεργέα Duentzer coll. ϑ 567 ν 175.

152] cum vs. 158 del. Peppmueller, solum vs. 158 Bothe. ‖ πόλι' § 74] πόλει vel πόλιν mss. ‖ ἀμφικαλύψαι] sic Ar., alii olim -ψω.

154 μὲν] γὰρ Duentzer. ‖ δοκεῖ] vid. ad Ι 103. ‖ ἔμμεν' § 125] εἶναι mss.

155 προϜίδωνται] ἐσίδωνται G.

156 θέμεναι § 125] θεῖναι mss.

157 θαυμάζωσιν] θαυμά<σ>σωσιν F.

158] vid. ad vs. 152. ‖ μηδέ Aristoph.] μέγα δὲ mss. cum Aristarcho, quem in commentariis Aristophani oblocutum esse dicit Didymus. ‖ πόλι' § 74] πόλει mss. (πόλιν X²).

160 Σχερίην] vid. ad ε 34.

163] certi cuiusdam scopuli species insolita hanc fabulam peperisse videtur; prope Phalarium autem Corcyrae promunturium eiusmodi scopulus et olim cernebatur (Plin. H. N. IV 53) et hodie cerni dicitur. Quapropter Seeck putat hos versus natos esse postquam Corcyra pro insula Phaeacum haberi coepta est, id quod ante Odysseam

χειρὶ καταπρηνεῖ ἐλάσας· ὃ δὲ νόσφ' ἐβεβήκει. 164^{a} = Π 792 h. Ap. 333

οἳ δὲ πρὸς ἀλλήλους ϝέπεα πτερόεντ' ἀγόρευον
Φαίηκες δολιχήρετμοι, ναυσίκλυτοι ἄνδρες. 166 = ϑ 191
ὧδε δέ τις 'ϝείπεσκε ϝιδὼν εἰς πλησίον ἄλλον· 167 = Β 271
„ὤ μοι, τίς δὴ νῆα θοὴν ἐπέδησ' ἐνὶ πόντῳ
ϝοίκαδ' ἐλαυνομένην; καὶ δὴ προεφαίνετο πᾶσα."
ὣς ἄρα τις 'ϝείπεσκε· τὰ δ' οὐ 'ϝίσαν ὡς ἐτέτυκτο. 170 = δ 772
τοῖσιν δ' Ἀλκίνοος ἀγορήσατο καὶ μετέϝειπε· 171 cf. δ 773
„ὢ πόποι, ἦ μάλα δή με παλαίφατα θέσφαθ' ἱκάνει 172 = ι 507
πατρὸς ἐμοῖ', ὃς ἔφασκε Ποσειδάων' ἀγάσεσθαι 173^{b}-177 = ϑ 565 sqq.
ἥμισιν, οὕνεκα πομποὶ ἀπήμονές εἰμεν ἁπάντων.
'φῆ ποτε Φαιήκων ἀνδρῶν ἐυϝεργέα νῆα
ἐκ πομπῆς ἀνιοῦσαν ἐν ἠεροϝειδέι πόντῳ
ῥαισέμεναι, μέγα δ' ἧμιν ὄρος πόλι' ἀμφικαλύψειν.
ὣς ἀγόρευ' ὁ γέρων· τάδε δὴ νῦν πάντα τελεῖται. 178 cf. ϑ 570
ἀλλ' ἄγεθ', ὥς κεν ἐγὼ ϝείπω, πειθώμεθα πάντες· 179 = Β 139
πομπῆς μὲν παύεσθε βροτῶν, ὅτε κέν τις ἵκηται
ἡμέτερον προτὶ ϝάστυ· Ποσειδάωνι δὲ ταύρους
δώδεκα κεκριμένους ἱερεύσομεν, αἴ κ' ἐλεήσῃ
μηδ' ἧμιν περίμηκες ὄρος πόλι' ἀμφικαλύψῃ." 183^{b} cf. ϑ 569
ὣς ἔφαθ'· οἳ δ' ἔδϝεισαν, ἑτοιμάσσαντο δὲ ταύρους.

---

nostram absolutam factum esse suspicatur. Vid. ad ε 34 ζ 263 sqq. || ἐρρίζωσεν] cf. η 122.

164 καταπρηνεῖ] *-νὲς? vid. § 73 et Π 792 et ad ν 199. || νόσφ' ἐβεβήκει] νόσφι β. mss.

165 πτερόεντ' ἀγόρευον] -ντα προσηύδα G^{1} (cf. α 122).

169 προεφαίνετο] προυφ. mss.

170 οὐ] οὐκ mss.

172-177] e libro ϑ irrepsisse vidit Ar.

172 παλαίφατα] cf. ι 507.

173 ἐμοῖ' § 59] ἐμοῦ mss. || ἀγάσεσθαι] -σασθαι mss.; Aristarchum ἀγάσεσθαι legisse e corrupto scholio effecit Cobet, cf. vs. par.

174 ἥμισιν § 93] ἡμῖν mss.; vid. ad ϑ 566. || ἀπήμονες] ἀμύμονες U^{2}; cf. ϑ 566.

175 ἐυϝεργέα M U] περικαλλέα mss. pleraque (ut vs. 149). Cf. vs. par.

177 πόλι' § 74] πόλει vel πόλιν mss. || ἀμφικαλύψειν] -ψαι G F mss. alia.

178 ἀγόρευ' ὁ] ἀγόρευε?

179 κεν § 326] ἂν mss.

180 παύεσθε P H^{1} M] παύσεσθε vel παύσασθε mss. pleraque.

184] finem hic habet *Ulixis reditus*, cui *Ulixis ultio* ab alio poeta est subiuncta. Dubitaverit autem quispiam an quaedam interciderint, sed negat hoc Kirchhoff, et rogantibus quid igitur de Phaeacibus factum sit respondet: „Ulixem ultimum e mortalibus Phaeaces domum deduxerunt: posthac nemo fabulosam eorum regionem oculis suis usurpabit; poenam vero, quam minitatus fuerat Neptunus, utrum de iis sumserit an precibus hostiisque delenitus remiserit, quis est qui dicere possit?"

185 ὣς οἳ μέν ῥ' ηὔχοντο Ποσειδάωνι Ϝάνακτι
δήμου Φαιήκων ἡγήτορες ἠδὲ μέδοντες,
ἑσταότες περὶ βωμόν.
ὃ δ' ἤγρετο δῖος 'Οδυσσεὺς — 187ᵇ = ζ 117
εὕδων ἐν γαίῃ πατρωίῃ, οὐδέ μιν ἔγνω
189 ἤδη δϜὴν ἀπεών· περὶ γὰρ θεὸς ἠέρ' ἔχευε.
197 'στῆ δ' ἄρ' ἀναΐξας καί ῥ' εἴσϜιδε πατρίδα γαῖαν· — 197 cf. Ξ 13; 197ᵃ = ο 6
δή ῥα τότ' ᾤμωξεν καὶ ἑϜὼ 'πεπλήγετο μηρὼ — 198 sq. = ο 397 sq.
199 χερσὶ καταπρηνέσσ', ὀλοφυρόμενος δὲ προσηύδα·

190 Παλλὰς Ἀθηναίη κούρη Διός, ὄφρα μιν αὐτὸν
ἄγνωτον τεύξειε Ϝέκαστά τε μυθήσαιτο,
μή μιν πρὶν ἄλοχος γνοίη Ϝαστοί τε φίλοι τε,
πρὶν πᾶσαν μνηστῆρας ὑπερβασίην ἀποτῖσαι. — 193 = χ 64
τούνεκ' ἄρ' ἀλλοῖα 'φαινέσκετο πάντα Ϝάνακτι,
195 ἀτραπιτοί τε διηνεκέες λιμένες τε πάνορμοι
πέτραι τ' ἠλίβατοι καὶ δένδρεα τηλεθάοντα.
200 ὤ μοι ἐγώ, τέων αὖτε βροτῶν ἐς γαῖαν ἱκάνω; — 200-202 = ζ 119 sqq.
ἤ ῥ' οἵ γ' ὑβρισταί τε καὶ ἄγριοι οὐδὲ δίκαιοι,
ἠὲ φιλόξεινοι καί σφιν νόος ἐστὶ θεοδϜής;
πῇ δὴ χρήματα πολλὰ φέρω τάδε; πῇ δὲ καὶ αὐτὸς
πλάζομαι; αἴθ' ὄφελον μεῖναι παρὰ Φαιήκεσσι

187 sq. ἤγρετο....εὕδων] cf. vs. 200 sq. ἀναπνεύσωσι....τειρόμενοι.

187 ἤγρετο] ἔγρετο mss.

188-196] del. FMeister, vs. 189-196 RPeppmueller, vs. 190-193 Kirchhoff, vs. 191-193 ARhode (Διὸς αἰγιόχοιο scribens vs. 190), vs. 192 sq. Naber, vs. 194-197 Duentzer. Posteri in miraculum detorserunt quae dederat vetustus poeta.

189 ἠέρ' ἔχευε] ἠέρα χεῦε mss. — De re vid. vs. 352.

190 αὐτὸν] αὐτῷ Aristoph. non recte (μιν ad *Ithacam* referens); vid. § 98.

191 ἄγνωτον Nauck] ἄγνωστον mss.; vid. ad β 175.

192 Ϝαστοί] nonnisi Δ 242 redit.

194 *ἀλλοῖα] ἀλλοειδέα mss. male, nam syllaba -ει- corripi non potest; novicia praeterea est synizesis -εα; vid. § 73. Porson ἀλλοϜειδέ' ἐφαίνετο, at syllaba -ο-, in thesi praesertim, produci nequit. Adiectivum autem ἀλλοϜειδής apud poetam non redit, quapropter in hac voce, non in verbo, quaesivimus vitium; cf. Δ 258 π 181 τ 265. Similis est error Ν 53. ‖ φαινέσκετο G²FPH] φαίνετο G¹MX.

195 ἀτραπιτοί] alias ἀταρπιτός (Σ 565 ρ 234 h. Ap. 227) vel ἀταρπός (Ρ 743 ξ 1); cf. § 39. ‖ πάνορμοι] †, τ' εὔορμοι vHerwerden (ut Φ 23 δ 358 ι 136).

196 τηλεθάοντα] -θόωντα M mss. alia; cf. § 191.

197] in M (a manu schol.) et in k subiunctum est τὴν δ' 'Οδυσεὺς γήθησεν ἰδὼν καὶ ἐναντίος ἦλθε (= vs. 226).

198 δή — ἑϜὼ] ᾤμωξέν τ' ἄρ' ἔπειτα καὶ ὤ mss.; vid. ad Μ 162 et Ο 397.

199] del. criticus apud Nauckium. ‖ καταπρηνέσσ'] *-νὲς? cf. Π 792. ‖ δὲ προσηύδα] δ' ἔπος ηὔδα X mss. alia (Ar.?); vid. Ο 114 et 398.

200-208] del. FMeister, tolerari posse putat Kirchhoff, ex alia narratione desumtos arbitratur Seeck; vs. 205-208 del. Hentze. Exclamatio ὢ πόποι (vs. 209) orationem constanter aperit exceptis Ν 99 Ξ 49 (Ρ 171?) et h. l.

200-202] vid. ad ζ 119-121.

203 χρήματα] κτήματα P S (cf. ν 304 ο 13). ‖ δὲ] τε Barnes.

204 πλάζομαι F H M] πλάγξομαι mss. pleraque. ‖ ὄφελον] 1ᵃ persona esse videtur

„ὢ πόποι, οὐκ ἄρα πάντα νοήμονες οὐδὲ δίκαιοι
ἦσαν Φαιήκων ἡγήτορες ἠδὲ μέδοντες,
οἵ μ' εἰς ἄλλην γαῖαν ἀπήγαγον· ἦ τέ μ' ἔφαντο
ἀξέμεν' εἰς 'Ιθάκην ἐνδήελον, οὐδ' ἐτέλεσσαν.]
Ζεύς σφας τίσαιτο ἱκετήσιος, ὅς τε καὶ ἄλλους
ἀνθρώπους ἐφορᾷ καὶ τίνυται ὅς τις ἁμάρτῃ.
ἀλλ' ἄγε δὴ τὰ χρήματ' ἀριθμήσω καὶ ἴδωμαι,
μή τί μοι οἴχονται κοίλης ἐπὶ νηὸς ἄγοντες."
ὣς Ϝειπὼν τρίποδας περικαλλέας ἠδὲ λέβητας 217 cf. h. Merc. 179
ἠρίθμει καὶ χρυσὸν ὑφαντά τε Ϝείματα καλά.
τῶν μὲν ἄρ' οὔ τι 'πόθει· ὃ δ' ὀδύρετο πατρίδα γαῖαν
ἑρπύζων παρὰ θῖνα πολυφλοίσβοιο θαλάσσης 220 cf. Α 34
πόλλ' ὀλοφυρόμενος.
σχεδόθεν δέ Ϝοι ἦλθεν Ἀθήνη, 221ᵇ = β 267
ἀνδρὶ δέμας ϜεϜικυῖα νέῳ, ἐπιβώτορι μήλων,
παναπάλῳ, οἷοί τε Ϝανάκτων παῖδες ἔασι,
δίπτυχον ἀμφ' ὤμοισιν ἔχουσ' ἐνϜεργέα λώπην·
ποσσὶ δ' ὑπὸ λιπαροῖσι πέδιλ' ἔχε, χειρὶ δ' ἄκοντα.
τὴν δ' Ὀδυσεὺς 'γήθησε Ϝιδὼν καὶ ἐναντίος ἦλθε, 226ᵃ = χ 207

205 αὐτόθ', ἐγὼ δέ κεν ἄλλον ὑπερμενέων βασιλήων 205ᵇ sq.ᵃ = υ 222 sq.
ἐξικόμην, ὅς κέν μ' ἐφίλει καὶ ἔπεμπε νέεσθαι.
νῦν δ' οὔτ' ἄρ πῃ θέσθαι ἐπίσταμαι, οὐδὲ μὲν αὖθι
καλλείψω, μή πώς μοι ἔλωρ ἄλλοισι γένηται.

(de iterato ἐγὼ δέ vid. ad Α 191); χρήματα subiectum esse statuunt Cauer Peppmüller alii.

205 αὐτόθ' § 322] αὐτοῦ mss. ‖ κεν] τιν' X mss. alia.

207 αὖθι § 322] αὐτοῦ mss.

208 ἔλωρ] neglecto Ϝ. ‖ γένηται] γένωνται P[1].

212 ἀξέμεν' § 125] ἄξειν mss. ‖ ἐνδήελον] εὐδείελον mss.; vid. ad β 167.

213-216] del. PKnight.

213 σφας § 92] σφέας mss. ‖ τίσαιτο] Zen. τίσασθαι (? — τισάσθω WRibbeck); τίσαιθ' F H[2] mss. alia, Barnes σφεῖας τίσαιθ' (male), Cobet δέ σφεας (σφας) τίσαιθ'. ‖ ἱκετήσιος] † (Att. ἱκέσιος); vid. ζ 207 sq. η 165 ι 270 al. et ad Ω 570 π 422 sq.

214 τίνυται] sic Ar. (alii olim τίννυται? LaRoche suspicatur τίσεται legisse alios). ‖ τις] κεν Eust.

215 ἴδωμαι] neglecto Ϝ; Fick ἀλλ' ἄγ' ἀριθμήσω τὰ χρήματα ἠδὲ Ϝίδωμαι.

216 οἴχονται] οἴχωνται male F U; vid. ad ε 300. ‖ ἄγοντες] ἔχοντες U.

219 ὃ δ'] vid. ad Α 191.

220] suspectus Duentzero.

222 ἐπιβώτορι] †, vid. ad γ 422. Absurde ἐπιβήτορι P H[3] Y (vid. λ 131), cf. altera vocis ἐπιβώτορι explicatio apud Hesych. s. v.: ἐπιστάτῃ ἢ ἐφιππαστῆρι· οἱ γὰρ τῶν βασιλέων υἱοὶ ἐπὶ τῶν κριῶν ἱππεύειν ἐμάνθανον (!).

223 παναπάλῳ] comp. †; de prima syllaba cf. § 21.

224 δίπτυχον] adi. Α 461 Β 424 γ 458 μ 361 redit, ubi legitur δίπτυχα, quae forma sitne acc. sing. fem. an plur. neutr. dubitatur; cf. § 83 et τρίπτυχος Λ 353. De re vid. ad Γ 126. ‖ ἔχουσ'] sic Ar., ἔχων P mss. alia. ‖ λώπην] †.

225 χειρὶ] χερσὶ mss. multa; vid. ad γ 51.

226 ἐναντίος] -ντίον mss. nonnulla; vid. ad Ζ 54.

καί μιν φωνήσας Ϝέπεα πετρόεντα προσηύδα· 227 = ο 259
„ὦ φίλ', ἐπεὶ σὲ πρῶτα κιχάνω τῷδ' ἐνὶ χώρῳ, 228 cf. ο 260
χαῖρέ τε καὶ μή μοί τι κακῷ νόῳ ἀντιβολήσαις,
ἀλλὰ σάου μὲν ταῦτα, σάου δ' ἐμέ· σοὶ γὰρ ἐγώ γε
εὔχομαι ὥς τε θεῷ καί σευ φίλα γούναθ' ἱκάνω.
καί μοι τοῦτ' ἀγόρευσον ἐτήτυμον, ὄφρ' ἐὺ Ϝείδω· 232 = α 174
τίς δῆμος, τίς γαῖα; τίνες βροτοὶ ἐγγεγάασι; 233 = h. Ap. 468 cf. h. Cer. 134
ἤ ποθί τις νήσων ἐυδήελος, ἠέ τις ἀκτὴ
κεῖθ' ἁλὶ κεκλιμένη ἐριβώλακος ἠπείροιο;"
τὸν δ' αὖτε προσέϜειπε θεὰ γλαυκῶπις Ἀθήνη·
„νήπιός ἐσσ', ὦ ξεῖν', ἢ τηλόθεν εἰλήλουθας, 237 = ι 273
εἰ δὴ τήνδε γε γαῖαν ἀνείρεαι· οὐδέ τι λίην
οὕτω νώνυμός ἐστι· Ϝίσασι δέ μιν μάλα πολλοί, 239[b] cf. Z 151
ἠμὲν ὅσοι ναίουσι πρὸς ἠόα τ' ἠέλιόν τε, 240[b] = M 239
ἠδ' ὅσσοι μετόπισθε ποτὶ ζόφον ἠερόεντα. 241[b] = M 240
ἦ τοι μὲν τρηχεῖα καὶ οὐχ ἱππήλατός ἐστι,
οὐδὲ λίην λυπρή, ἀτὰρ οὐδ' εὐρεῖα τέτυκται.
ἐν μὲν γάρ Ϝοι σῖτος ἀθέσφατος, ἐν δέ τε Ϝοῖνος
γίγνεται· αἰεὶ δ' ὄμβρος ἔχει τεθαλυῖά τ' ἐϜέρση.
αἰγίβοτος δ' ἀγαθὴ καὶ βούβοτος· ἔστι μὲν ὕλη

---

228 πρῶτα κιχάνω] πρῶτον ἱκάνω G.

229 ἀντιβολήσαις § 113] -σῃς G H² n²; cf. δ 547.

230 σάου (bis) Cobet] σάω mss.; cf. § 195 et Π 363. || ταῦτα] πάντα P.

231 σευ] novicium pro σεο, vid. § 92; *καὶ δή τεὰ γ. ἱ.? cf. ε 449.

233 τίς δῆμος, τίς γαῖα; τίνες βροτοὶ Fick] τίς γῆ, τίς δῆμος; τίνες ἀνέρες mss.; cf. h. Apoll. 468. Novicium est γῆ pro γαῖα (ut ν 238, cf. § 58). || ἐγγεγάασι G F] ἐκγ. mss. pleraque.

234 sq.] del. Duentzer; versus otiosi desunt h. Apoll. l. l.

234 ποθί § 322] πού mss. || νήσων] νῆσός γ' Duentzer. || ἐυδήελος] εὐδείελος mss.; vid. ad β 167.

237 ἐσσ' § 302] εἶς mss.

238 εἰ δή] vid. ad A 61. || τήνδε γε U] τήνδε τε vel τὴν δή mss. pleraque; cf. ο 484, 546. Nauck γαῖαν τήνδε.

240 sq.] suspecti Duentzero.

240 ἠόα § 77] ἠῶ mss.

241] in margine adscripsit G² καὶ μέντοι χ' ἴσασ' Ἰθάκης ἕδος οὐδὲ τάπητος.

242] de Ithacae solo vid. Γ 201 δ 605 ι 27. || ἱππήλατος] cf. δ 607.

243] del. Seeck. || λυπρή] † (λύπη λυπεῖν λυπηρός apud Hom. non inveniuntur); λυγρή Friedlaender. Sed requiritur potius *οὐδὲ λίην εὐρεῖ', ἀτὰρ οὐ λυπρή γε τέτυκται: *aspera nec equis alendis idonea est Ithaca, quippe quae campos apertos non habeat; nec tamen infelix est terra, nam fert frumentum et vinum.* Cum toto loco cf. δ 605 sqq. || ἀτὰρ οὐδ'] sic Ar., ἀτὰρ (αὐτὰρ) οὐκ mss. complura, αὐτὰρ δ' Gregorius Corinth. (Trypho?) in Rhetor. Spengel III p. 219, anastrophes exemplum vocans.

244 sq.] del. Duentzer.

245 ἐϜέρσῃ] ὀπώρῃ X D (ex λ 192).

246] vituperat Seeck, αἰγίβοτος enim adiectivum in laudem adhiberi non posse, βούβοτον autem Ithacam non fuisse. || αἰγίβοτος] adi. redit δ 606. || ἀγαθή] Ἰθάκη Duentzer. || βούβοτος] †.

παντοίη, ἐν δ' ἀρδμοὶ ἐπηετανοὶ παρέασι.
τῷ τοι, ξεῖν', Ἰθάκης γε καὶ εἰς Τροίην ὄνομ' ἵκει,
τήν περ τηλόθι φασὶν Ἀχαιΐδος ἔμμεναι αἴης."
ὣς 'φάτ'· ἐγήθησεν δὲ πολύτλας δῖος Ὀδυσσεύς, 250 = η 329
χαίρων Ϝῇ γαίῃ πατρωΐῃ, ὥς Ϝοι ἔϜειπε
Παλλὰς Ἀθηναίη κούρη Διὸς αἰγιόχοιο, 252 = 371 ω 547 cf. γ 42
καί μιν φωνήσας Ϝέπεα πτερόεντα προσηύδα —
οὐδ' ὅ γ' ἀληθέ' ἔϜειπε, πάλιν δ' ὅ γε 'λάζετο μῦθον 254ᵇ = Δ 357
αἰὲν ἐνὶ στήθεσσι νόον πολυκερδέα νωμῶν —·
„πυνθανόμην Ἰθάκης γε καὶ ἐν Κρήτῃ εὐρείῃ
τηλόθ' ὑπὲρ πόντου, νῦν δ' εἰλήλουθα καὶ αὐτὸς
χρήμασι σὺν τοισίνδε· λιπὼν δ' ἔτι παισὶ τοσαῦτα
φεύγω, ἐπεὶ φίλον υἷα κατέκτανον Ἰδομενῆος,
Ὀρσίλοχον πόδας ὠκύν, ὃς ἐν Κρήτῃ εὐρείῃ
ἀνέρας ἀλφεστὰς 'νίκα ταχέεσσι πόδεσσι,
οὕνεκά με στερέσαι τῆς ληΐδος ἤθελε πάσης
Τρωιάδος, τῆς εἵνεκ' ἐγὼ 'πάθον ἄλγεα θυμῷ
ἀνδρῶν τε πτολέμους ἀλεγεινά τε κύματα πείρων, 264 = Ω 8
οὕνεκ' ἄρ' οὐ Ϝῷ πατρὶ χαριζόμενος 'θεράπευον
δήμῳ ἔνι Τρώων, ἀλλ' ἄλλων ἦρχον ἑταίρων.
τὸν μὲν ἐγὼ κατιόντα 'βάλον χαλκήρεϊ δουρὶ 267 cf. Δ 742
ἀγρόθεν, ἐγγὺς ὁδοῖο λοχησάμενος σὺν ἑταίρῳ·
νὺξ δὲ μάλα δνοφερὴ κάτεχ' οὐρανόν, οὐδέ τις ἧμας
ἀνθρώπων ἐνόησε, 'λάθον δέ Ϝε θυμὸν ἀποϜράς.
αὐτὰρ ἐπεὶ δὴ τόν γε κατέκτανον ὀξέι χαλκῷ,

---

247 ἀρδμοὶ] vox nonnisi Σ 521 redit. || παρέασι] γεγάασι G D.
248 sq.] del. Duentzer.
249 τηλόθι § 322] τηλοῦ mss.
250 'φάτ'· ἐγήθησεν] φάτο· γήθησεν (μείδησεν Eust.) mss.
252 et **254** sq.] del. PKnight.
254 οὐδ' ὅ γ'] οὐδέ γ' Bothe, οὐδέ τ' Duentzer. || ἀληθέ' ἔϜειπε] -θέα εἶπε mss. || πάλιν] cf. Δ 357.
255 αἰὲν Y] αἰεὶ mss. cetera. || πολυκερδέα] †, cf. πολυκερδείῃ ψ 77 (?) ω 167.
256 Κρήτῃ] Τροίῃ P (cf. Valcken. ad Ammon. p. 238).
257 τηλόθ' § 322] τηλοῦ mss.
258 τοισίνδε] τοῖσδεσσι mss.; vid. § 97.
261 ἀλφεστὰς Wackernagel] ἀλφηστὰς mss.; de vocis vi vid. ad α 349.
262 στερέσαι] †. || ἤθελε πάσης] ἤθελ' ἁπάσης X D.
264] del. Wolf.
265 sq.] del. criticus apud Nauckium.
265 οὐ] οὐχ mss. || Ϝῷ] vid. ad δ 618. || 'θεράπευον] verbum nonnisi h. Ap. 390 redit; cf. θεράπων.
267 κατιόντα] προσιόντα S L W q.
269 ἧμας § 92] ἡμέας vel ἡμᾶς mss.; an *ἧμε?
270 'λάθον ... ἀποϜράς § 150] λάθον ... ἀπούρας mss. (λαθὼν ... ἀπηύρων F¹ O Z k).

αὐτίκ' ἐγὼν ἐπὶ νῆα κιὼν Φοίνικας ἀγανοὺς
ἐλλισάμην καί σφιν μενοϝεικέα ληίδ' ἔδωκα·
τούς μ' ἐκέλευσα Πύλονδε καταστῆσαι καὶ ἐφέσσαι
ἢ εἰς Ἦλιδα δῖαν, ὅθι κρατέουσιν Ἐπειοί.
ἀλλ' ἦ τοί σφας κεῖθεν ἀπώσατο ϝὶς ἀνέμοιο
πόλλ' ἀϝεκαζομένους, οὐδ' ἤθελον ἐξαπατῆσαι·
κεῖθεν δὲ πλαγχθέντες ἱκάνομεν ἐνθάδε νυκτός.
σπουδῇ δ' εἰς λιμένα προερέσσαμεν, οὐδέ τις ἧμιν
δόρπου μνῆστις ἔην μάλα περ χατέουσιν ἑλέσθαι,
ἀλλ' αὔτως ἀποβάντες ἐκείμεθα νηὸς ἅπαντες.
ἔνθ' ἐμὲ μὲν γλυκὺς ὕπνος ἐπήλυθε κεκμηῶτα·
οἳ δὲ χρήματ' ἐμὰ γλαφυρῆς ἐκ νηὸς ἑλόντες
κάτθεσαν, ἔνθα περ αὐτὸς ἐπὶ ψαμάθοισιν ἐκείμην.
οἳ δ' εἰς Σιδονίην εὖ ναιομένην ἀναβάντες
ᾤχοντ'· αὐτὰρ ἐγὼ 'λιπόμην ἀκαχημένος ἦτορ."
ὣς 'φάτ'· ἐμείδησεν δὲ θεὰ γλαυκῶπις Ἀθήνη
χειρί τέ μιν κατέρεξε, — δέμας δ' ἐϝέϝικτο γυναικὶ
καλῇ τε μεγάλῃ τε καὶ ἀγλαὰ ϝέργα ϝιδυίῃ, —
καί μιν φωνήσασ' ἔπεα πτερόεντα προσηύδα·
„κερδαλέος κ' εἴη καὶ ἐπίκλοπος, ὅς σε παρέλθοι
ἐν πάντεσσι δόλοισι, καὶ εἰ θεὸς ἀντιάσειε.
σχέτλιε, ποικιλόμητι, δόλων ἄατ', οὐκ ἄρ' ἔμελλες
οὐδ' ἐν σῇ περ ἐὼν γαίῃ λήξειν ἀπατάων
μύθων τε κλοπίων, οἵ τοι πεδόθεν φίλοι εἰσί;

275 cf. ο 298 ω 431 h. Ap. 426
277ᵃ cf. Ζ 458
279ᵃ cf. ι 73
282 = κ 31
286 cf. ο 481
287 cf. Ρ 567
288ᵃ = Δ 361 [sq.
288ᵇ sq. = π 157
288ᵇ = δ 796
289 cf. ο 418

273 ληίδ' ἔδωκα] ληίδα (λήια F[1]) δῶκα mss., ἤια δῶκα Aristoph.

274 μ'] δ' P, γ' L W. || ἐφέσσαι] Rhianus ἀφέσσαι (ἀποφάσσαι cod.; corr. Cobet), non recte interpretatus ἀποπέμψαι. De infinitivi forma cf. § 220.

276 σφας § 92] σφεας mss.

278 νυκτός] νυκτί P. De genitivi usu vid. ad η 118.

279-281] suspecti Duentzero.

279 προερέσσαμεν] sic Ar., προερύ(σ)σαμεν mss. complura; cf. Α 435.

280 μνῆστις] †, cf. μνημοσύνη Θ 181. || ἔην] ἔεν? vid. § 302.

282 ἐπήλυθε edd.] ὑπήλυθε n, ἐπέ(λ)λαβε, ὑπέλλαβε, κατέλαβε mss. cett.; vid. ad κ 31.

285 ναιομένην] κτιμένην M metro invito (calami lapsu? an fuit l. a. οἳ δ' εἰς Σιδονίηνδε εὖ κτιμένην? cf. κ 351 et l. a. Ω 764).

287 'φάτ'· ἐμείδησεν] φάτο· μειδ. mss.

288 δέμας — γυναικὶ] ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζε G[1] (cf. δ 610). || ἐϝέϝικτο § 160] ἤικτο mss.

289] om. G[1] P. || ϝέργα ϝιδυίῃ § 160] ἔργ' εἰδυίῃ (-ᾳ) mss.

290 ἔπεα] neglecto ϝ; vid. ad Ο 35.

291 ἐπίκλοπος] vid. ad φ 397.

293 ποικιλόμητι] ποικιλομῆτα mss.; cf. Δ 482 etc. || ἄατ'] ἄτ' mss., ἄτερ l. a. (ut cum sequentibus iungatur) ab Ar. reiecta. Cf. Δ 430.

295 κλοπίων] Eust. et Hesych. πλοκίων. Vox † (cf. ἐπίκλοπος Χ 281 λ 364 ν 291 φ 397, κλοπός h. Merc. 276, -κλοπέω χ 382, κλέπτη

ἀλλ' ἄγε μηκέτι ταῦτα λεγώμεθα, Ϝειδότες ἄμφω 296^a = *N* 292
κέρδε', ἐπεὶ σὺ μέν ἐσσι βροτῶν ὄχ' ἄριστος ἁπάντων
βουλῇ καὶ μύθοισιν, ἐγὼ δ' ἐν πᾶσι θεοῖσι
μήτιί τε κλέομαι καὶ κέρδεσιν· οὐδὲ σύ γ' ἔγνως [sq.
Παλλάδ' Ἀθηναίην κούρην Διός; ἥ τέ τοι αἰεὶ 300 sq. cf. *K* 278 / 300^a = γ 42
ἐν πάντεσσι πόνοισι παρίσταμαι ἠδὲ φυλάσσω, 301^a = *K* 245
καὶ δέ σε Φαιήκεσσι φίλον πάντεσσιν ἔθηκα.
νῦν αὖ δεῦρ' ἱκόμην, ἵνα τοι σὺν μῆτιν ὑφήνω
χρήματά τε κρύψω, ὅσα τοι Φαίηκες ἀγαυοὶ
ὤπασαν οἴκαδ' ἰόντι ἐμῇ βουλῇ τε νόῳ τε, 305^a = 121 / 305^b = μ 211
Ϝείπω θ' ὅσσα τοι αἶσα δόμοισ' ἔνι ποιητοῖσι
κήδε' ἀνασχέσθαι· σὺ δὲ τετλάμεναι καὶ ἀνάγκῃ.
μηδέ τιν' ἐκφάσθαι μήτ' ἀνδρῶν μήτε γυναικῶν
πάντων, οὕνεκ' ἄρ' ἦλθες ἀλώμενος, ἀλλὰ σιωπῇ
πασχέμεν' ἄλγεα πολλὰ βίας ὑποδέγμενος ἀνδρῶν.“ 310 cf. π 189
τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
„ἀργαλέον σε, θεά, γνῶναι βροτῷ ἀντιάσαντι
καὶ μάλ' ἐπισταμένῳ· σὲ γὰρ αὐτὴν παντὶ ϜεϜίσκεις.
τοῦτο δ' ἐγὼν ἐὺ Ϝοῖδ', ὅτι μοι πάρος ἠπίη ἦσθα, 314 cf. ο 152
ἧος ἐνὶ Τροίῃ 'πολεμίζομεν υἷες Ἀχαιῶν. 315 = ο 153
αὐτὰρ ἐπεὶ Πριάμοιο πόλιν διεπέρσαμεν αἰπήν, 316 sq. = γ 130 sq.
'βῆμεν δ' ἐν νήεσσι, θεὸς δ' ἐκέδασσεν Ἀχαιούς,
οὔ σ' ἔτ' ἔπειτ' ἔϜιδον, κούρη Διός, οὐδ' ἐνόησα.

Γ 11, *κλεπτοσύνη* τ 396, *κλέπτω* *A* 132 etc., *κλεψίφρων* h. Merc. 413). ‖ *πεδόθεν*] † (cf. Hes. Theog. 680 Apoll. Rh. I 1199 III 1316), *funditus*; cf. *πέδον* *N* 796 λ 598 h. Cer. 254, 456. Mira constantia *παιδόθεν* habent GFHM[1]XDSULWiklnq (cf. l. a. β 87), unde *πάιθεν* coniecit WSchulze Q. E. p. 86.

299 *μήτιι* § 74] *μήτι* mss. ‖ *κλέομαι*] cf. § 183.

300 *αἰεὶ*] l. a. *ἄγχι*.

301 sq. *παρίσταμαι ... φυλάσσω ... ἔθηκα*] cf. β 41.

301 *πόνοισι*] *δόλοισι* (ex vs. 292) G[1].

302-310] del. Duentzer, vs. 304 sq. Kammer, 306-310 ante 377 collocans eiecto 376.

303 *νῦν*] *νῦν δ'* mss. complura. ‖ *ὑφήνω*] vid. ad *A* 158.

304 *χρήματα* G F] *κτήματα* mss. multa; cf. ν 203 ο 13.

305 *οἴκαδ'*] neglecto Ϝ; vid. ad vs. 121.

306 *θ'*] *δ'* mss. complura.

307 *ἀνασχέσθαι*] *ἀναπλῆσαι* M et Eust. fortasse recte; cf. ε 207.

308 *τιν'(ι)*] *τῳ* mss.; vid. § 99.

310 *πασχέμεν'* § 125] *πάσχειν* mss. (*ἴσχειν* G[1]).

311-351] del. FMeister.

312 *γνῶναι*] novicium pro *γνώμεναι*, cf. § 125; **γνώμεναι ἀργαλέον σε, θεά?*

313] *spurius? ‖ *ϜεϜίσκεις*] *ἐίσκω* H[1].

314-323] del. Duentzer.

314] om. F[1]. ‖ *Ϝοῖδ'*] *οἶδα* F P H M mss. alia, hinc *οἶδα ὅ μοι* LaRoche (cf. § 103).

315 *ἧος ἐνὶ* § 323] *εἵως* (*ἕως*) *ἐν(ὶ)* mss.

316 *αἰπὴν*] cf. § 75.

318 *σ' ἔτ'*] *σέ γ'* vel *σ'* mss. multa. ‖ *ἔπειτ' ἔϜιδον*] *ἔπειτα ἴδον* mss.

νῦν δέ σε πρὸς πατρὸς γουνάζομαι, — οὐ γὰρ ὀίω
ἱκέμεν' εἰς 'Ιθάκην ἐνδήελον, ἀλλά τιν' ἄλλην
γαῖαν ἀναστρέφομαι, σὲ δὲ κερτομέουσαν ὀίω
ταῦτ' ἀγορευέμεναι, ἵν' ἐμὰς φρένας ἠπεροπεύῃς, —
Ϝειπέ μοι, εἰ ἐτεόν γε φίλην εἰς πατρίδ' ἱκάνω."
τὸν δ' ἠμείβετ' ἔπειτα θεὰ γλαυκῶπις Ἀθήνη·
„αἰεί τοι τοιοῦτον ἐνὶ στήθεσσι νόημα· 330 cf. η 309
τῷ σε καὶ οὐ δύναμαι προλιπεῖν δύστηνον ἐόντα,
οὕνεκ' ἐπητής ἐσσι καὶ ἀγχίνοος καὶ ἐχέφρων.
ἀσπασίως γάρ κ' ἄλλος ἀνὴρ ἀλαλημένος ἐλθὼν 333^b = ξ 122 φ 327
'Ϝίετ' ἐνὶ μεγάροισι Ϝιδεῖν παῖδάς τ' ἄλοχόν τε·
σοὶ δ' οὔ πω φίλον ἐστὶ δαήμεναι οὐδὲ πυθέσθαι,
πρίν γ' ἔτι σῆς ἀλόχου πειρήσεαι, ἥ τέ τοι αὔτως
ἧσται ἐνὶ μεγάροισιν, ὀιζυραὶ δέ Ϝοι αἰεὶ 337 cf. λ 182
φθίνουσιν νύκτες τε καὶ ἤματα δάκρυ χεούσῃ. 338 = λ 183

319 νηὸς ἐμῆς ἐπιβᾶσαν, ὅπως τί μοι ἄλγος ἀλάλκοις·
ἀλλ' αἰεὶ φρέσ' ἐμῇσιν ἔχων δεδαϊγμένον ἦτορ
ἠλαόμην, ἧός με θεοὶ κακότητος ἔλυσαν· 321^b = ε 397
πρίν γ' ὅτε Φαιήκων ἀνδρῶν ἐν πίονι δήμῳ
'θάρσυνάς τε Ϝέπεσσι καὶ εἰς πόλιν ἤγαγες αὐτή.
320-323 Ar. — || 333-338 Ar. —

319-323] del. Fick, vs. 319-321 PKnight; vs. 320-323 damnabat Ar., observans Ulixem nescire Minervam sibi in Scheria obviam factam esse (libri η initio). Huic argumento nihil tribuit Kirchhoff, non enim eiusdem poetae esse libros η et ν. Attamen nostro loco ad librum η alluditur, ridiculum autem est sic queri: *olim me diligebas, sed post Troiam captam nunquam adspectu tuo me dignata es — nisi quod ante paucos dies mecum es collocuta.*

320 *φρέσ' ἐμῇσιν] φρεσὶν ᾗσιν Ar. (versum ideo damnans) et mss., quale vitium ne interpolatori quidem tribuendum videtur. || δεδαϊγμένον] l. a. -νην (?).

321 ἠλαόμην § 191] ἠλώμην mss. || ἧος § 323] εἵως mss.

323 τε Ϝέπεσσι] τ' ἐπέεσσι mss.; με Ϝέπεσσι LaRoche, cf. μ 44. || αὐτή] αὐτήν X D.

325 ἱκέμεν' § 125] ἵκειν Bekker, ἥκειν mss. (item Ε 478), ἥκειν μ' Duentzer. || ἐνδήελον] εὐδείελον mss.; vid. ad β 167.

327 ἠπεροπεύῃς H^2 M X] -σῃς G F P H^1.

332] del. PKnight. || ἐπητής] *prudens* (sic Ar. interpretabatur)? Incertae originis adiectivum redit σ 128; cf. ἐπητύς (?) φ 306. || ἐσσι] sic Ar., τ' ἐσσὶ F H mss. alia. || ἀγχίνοος] †.

333-343] del. Duentzer, cui assentimur; Kayser del. vs. 333-338, Fick vs. 333-340, WRibbeck vs. 341-343, criticus apud Nauckium versum 343. Kammer deletis versibus 336-340 locum sic ordinat: vs. 330, 333-335, 331, 332, praeterea suspicatus post verba ἀλλά τοι versus nonnullos intercidisse.

333 ἀσπασίως] -ος (-οις habet H^2)? vid. ad Σ 270.

334 μεγάροισι Ϝιδεῖν] -οις ἰδέειν mss.; cf. § 60.

336 γ' ἔτι σῆς] γε τῆς F^1, γ' ἧς G, *γε τεῆς? cf. Ζ 465.

338 φθίνουσιν] φθινύθουσι(ν) F P X mss. alia; *νύκτες τε φθινύθουσι? cf. π 39.

αὐτὰρ ἐγὼ τὸ μὲν οὔ ποτ' ἀπίστεον, ἀλλ' ἐνὶ θυμῷ
Ϝείδε' ὃ νοστήσεις ὀλέσας ἄπο πάντας ἑταίρους· 340ᵇ = ι 534
ἀλλά τοι οὐκ ἐθέλησα Ποσειδάωνι μάχεσθαι 341 sq.ᵃ cf. Φ 468ᵇ sq.
πατροκασιγνήτῳ, ὅς τοι κότον ἔνθετο θυμῷ, 342ᵇ sq. = λ 102 sq.
χωόμενος ὅτι Ϝοι υἱὸν φίλον ἐξαλάωσας.
ἀλλ' ἄγε τοι δείξω Ἰθάκης ἕδος, ὄφρα πεποίθῃς.
Φόρκυνος μὲν ὅδ' ἐστὶ λιμὴν ἁλίοιο γέροντος, 345 cf. 96
346 ἥδε δ' ἐπὶ κρατὸς λιμένος τανύφυλλος ἐλαίη· 346ᵇ = 102
349 τοῦτο δέ τοι σπέος εὐρὺ κατηρεφές, ἔνθα σὺ πολλὰς
Ϝέρδεσκες νύμφῃσι τεληέσσας ἑκατόμβας· 350 cf. Α 315
τοῦτο δὲ Νήριτόν ἐστιν ὄρος καταϜειμένον ὕλῃ.“ 351ᵇ cf. τ 431
ὣς Ϝειποῦσα θεὰ 'σκέδασ' ἠέρα, 'Ϝείσατο δὲ χθών·
'γήθησέν τ' ἄρ' ἔπειτα πολύτλας δῖος Ὀδυσσεὺς 353 = φ 414
χαίρων Ϝῇ γαίῃ, 'κύσε δὲ ζείδωρον ἄρουραν. 354ᵇ = ε 463
αὐτίκα δὲ νύμφῃσ' ἠρήσατο χεῖρας ἀνασχών·
„νύμφαι νηιάδες, κοῦραι Διός, οὔ ποτ' ἐγώ γε
ὄψεσθ' ὔμ' ἐφάμην· νῦν δ' εὐχωλῇσ' ἀγανῇσι
χαίρετ'· ἀτὰρ καὶ δῶρα διδώσομεν, ὡς τὸ πάρος περ,
αἴ κ' ἐάῃ πρόφρων με Διὸς θυγάτηρ ἀγελείη
αὐτόν τε ζώειν καί μοι φίλον υἱὸν ἀέξῃ.“
τὸν δ' αὖτε προσέϜειπε θεὰ γλαυκῶπις Ἀθήνη·
„θάρσεε· μή τοι ταῦτα μετὰ φρεσὶ σῇσι μελόντων. 362 = Σ 463

---

347 ἀγχόθι δ' αὐτῆς ἄντρον ἐπήρατον ἠεροϜειδές, 347 sq. = 103 sq.
ἱρὸν νυμφάων, αἳ νηιάδες καλέονται·

---

339 ἀπίστεον] †, cf. ἄπιστος *diffidens* ξ 150, 391 ψ 72 (*perfidus* Γ 106 Ω 63, 207), fut. et aor. verbi ἀπιθέω passim (Α 220 Κ 129 etc.).

340 Ϝείδε' § 160] ἤδε' mss.

342 τοι] cf. λ 102. ‖ κότον] χόλον F P H mss. alia; cf. λ 102.

343 ἐξαλάωσας] vid. ad α 69.

345-351] del. Duentzer.

345 Φόρκυνος...λιμὴν] cf. vs. 96.

346 ἐπὶ κρατὸς λιμένος] vid. ad ι 140. ‖ τανύφυλλος] vid. ad vs. 102. Zen. h. l. (non ν 102) μανίφυλλος (μανόφυλλος?) sensu *angustifolius* teste Orione in Etym. flor. Milleri Mélanges p. 211.

347 sq.] om. G[1] F T[1] U[1] O k n[1] et olim mss. alia teste Eust.; „argumento νοθείας est etiam hoc, quod in singulis partibus debet esse pronomen demonstrativum, quod hic non est" (Ernesti).

349 εὐρὺ G F X] ἐστὶ P H M.

351 Νήριτον] vid. ι 22 et ad α 186; Duentzer Νηρίτου.

357 ὔμ' § 92] ὔμμ' vel ὔμμ' mss. (ὔμ' L); sed requiritur numerus pluralis; *ὔμας ἔφην (cf. σ 407)? vid. § 92 et ad α 194.

358 ἀτὰρ] αὐτὰρ F P mss. alia. ‖ καὶ] ἐγὼ F. ‖ διδώσομεν] παρέξομεν Aristophanes. Vitiosa futuri forma redit ω 314; vid. etiam Ω 425 γ 380.

359 κ' ἐάῃ § 191] κεν ἐᾷ mss.

360 ἀέξῃ] male mss. nonnulla ἀέξει(ν).

362 θάρσεε § 191] θάρσει mss. ‖ μή τοι] μηδέ τι Eust. ‖ μετὰ] vid. ad Σ 463. ‖ σῇσι] ᾗσι X D U[2] noto errore.

ἀλλὰ χρήματα μὲν μυχῷ ἄντρου θεσπεσίοιο 363ᵇ = ω 6
θήομεν αὐτίκα νῦν, ἵνα περ τάδε τοι σάα μίμνῃ· 364ᵇ = Ω 382
αὐτοὶ δὲ φραζώμεθ' ὅπως ὄχ' ἄριστα γένηται." 365 cf. ψ 117
ὣς Ϝειποῦσα θεὰ 'δῦνε σπέος ἠεροϜειδές, 365ᵇ cf. γ 129
μαιομένη κευθμῶνας ἀνὰ σπέος· αὐτὰρ Ὀδυσσεὺς
ἆσσον πάντ' ἔφερε, χρυσὸν καὶ ἀτειρέα χαλκὸν
Ϝείματά τ' εὖ ποιητά, τά Ϝοι Φαίηκες ἔδωκαν.
καὶ τὰ μὲν εὖ κατέθηκε, λίθον δ' ἐπέθηκε θύρῃσι
Παλλὰς Ἀθηναίη κούρη Διὸς αἰγιόχοιο. 371 = 252
τὼ δὲ καθεζομένω ἱερῆς παρὰ πυθμέν' ἐλαίης
'φραζέσθην μνηστῆρσιν ὑπερφιάλοισιν ὄλεθρον.
τοῖσι δὲ μύθων ἦρχε θεὰ γλαυκῶπις Ἀθήνη·
„διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
φράζε' ὅπως μνηστῆρσιν ἀναιδέσι χεῖρας ἐφήσεις, 376 cf. α 254 υ 29,
οἳ δή τοι τρίϜετες μέγαρον κάτα κοιρανέουσι 39, 386 ψ 37
μνώμενοι ἀντιθέην ἄλοχον καὶ Ϝέδνα διδόντες· 378 = λ 117
ἣ δὲ σὸν αἰεὶ νόστον ὀδυρομένη κατὰ θυμὸν
πάντας μὲν Ϝέλπει καὶ ὑπίσχεται ἀνδρὶ Ϝεκάστῳ 380 sq. = β 91 sq.
ἀγγελίας προϊεῖσα, νόος δέ Ϝοι ἄλλα μενοινᾷ."
τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
„ὢ πόποι, ἦ μάλα δὴ Ἀγαμέμνονος Ἀτρεΐδαο
φθίσεσθαι κακὸν οἶτον ἐνὶ μεγάροισιν ἔμελλον,
εἰ μή μοι σὺ Ϝέκαστα, θεά, κατὰ μοῖραν ἔϜειπες.
ἀλλ' ἄγε μῆτιν ὕφηνον, ὅπως ἀποτίσομαι αὐτούς·
πὰρ δέ μοι αὐτὴ στῆθι μένος πολυθαρσὲς ἐνεῖσα, 387ᵇ cf. P 156
οἷον ὅτε Τροίης 'λύομεν λιπαρὰ κρήδεμνα. 388 cf. Π 100

---

363 ἀλλὰ] ἀλλ' ἄγε P H mss. alia.

364 θήομεν § 122] θείομεν mss. || περ τάδε τοι] τοι τάδε περ k; vid. ad Ω 382. || σάα § 62] σόα mss.

365 ὄχ' ἄριστα γένηται] ἔσται τάδε ἔργα P H mss. alia (ut Δ 14 Ξ 61 ρ 274).

366 'δῦνε] δῦν' ἐς M non recte, vid. tamen ε 352.

368 ἔφερε S U² L W q] ἐφόρει mss. cetera; vid. § 191 et ad κ 358.

369 ἔδωκαν] ἀγαυοὶ | ὤπασαν οἴκαδ' ἰόντι διὰ μεγάθυμον Ἀθήνην X U² mss. alia (ex vs. 120 sq.).

371] del. PKnight.

372-381] del. Duentzer.

375 διογενὲς] cf. § 21.

376] φράζεο νῦν μνηστῆρσιν ὑπερφιάλοισιν ὄλεθρον P H mss. alia (cf. vs. 373). || φράζε' § 117] φράζευ mss. || χεῖρας ἐφήσεις] vid. ad Α 88.

378 Ϝέδνα] vid. ad Π 178.

379 δὲ σὸν αἰεὶ] *δ' αἰεὶ σὸν?

380 μὲν Bentley] μέν ῥ' mss., cf. β 91.

384 φθίσεσθαι] l. a. πείσεσθαι.

386 αὐτούς] pronominis usus novicius, cf. § 98; IMHoogvliet ἀποτίσομ' ἀλείτας coll. Γ 28 υ 121.

388 κρήδεμνα] vid. ad Π 100.

χειρὶ καταπρηνεῖ ἐλάσας· ὃ δὲ νόσφ' ἐβεβήκει. 164ª = Π 792 h. Ap. 333

οἳ δὲ πρὸς ἀλλήλους Ϝέπεα πτερόεντ' ἀγόρευον
Φαίηκες δολιχήρετμοι, ναυσίκλυτοι ἄνδρες. 166 = ϑ 191
ὧδε δέ τις 'Ϝείπεσκε Ϝιδὼν εἰς πλησίον ἄλλον· 167 = Β 271
„ὤ μοι, τίς δὴ νῆα θοὴν ἐπέδησ' ἐνὶ πόντῳ
Ϝοίκαδ' ἐλαυνομένην; καὶ δὴ προεφαίνετο πᾶσα.“
ὣς ἄρα τις 'Ϝείπεσκε· τὰ δ' οὐ 'Ϝίσαν ὡς ἐτέτυκτο. 170 = δ 772
τοῖσιν δ' Ἀλκίνοος ἀγορήσατο καὶ μετέϜειπε· 171 cf. δ 773
„ὢ πόποι, ἦ μάλα δή με παλαίφατα θέσφαθ' ἱκάνει 172 = ι 507
πατρὸς ἐμοῖ', ὃς ἔφασκε Ποσειδάων' ἀγάσεσθαι 173ᵇ-177 = ϑ 565 sqq.
ἥμισιν, οὕνεκα πομποὶ ἀπήμονές εἰμεν ἁπάντων.
'φῆ ποτε Φαιήκων ἀνδρῶν ἐυϜεργέα νῆα
ἐκ πομπῆς ἀνιοῦσαν ἐν ἠεροϜειδέι πόντῳ
ῥαισέμεναι, μέγα δ' ἧμιν ὄρος πόλι' ἀμφικαλύψειν.
ὣς ἀγόρευ' ὁ γέρων· τάδε δὴ νῦν πάντα τελεῖται. 178 cf. ϑ 570
ἀλλ' ἄγεθ', ὥς κεν ἐγὼ Ϝείπω, πειθώμεθα πάντες· 179 = Β 139
πομπῆς μὲν παύεσθε βροτῶν, ὅτε κέν τις ἵκηται
ἡμέτερον προτὶ Ϝάστυ· Ποσειδάωνι δὲ ταύρους
δώδεκα κεκριμένους ἱερεύσομεν, αἴ κ' ἐλεήσῃ
μηδ' ἧμιν περίμηκες ὄρος πόλι' ἀμφικαλύψῃ.“ 183ᵇ cf. ϑ 569
ὣς ἔφαθ'· οἳ δ' ἔδϜεισαν, ἑτοιμάσσαντο δὲ ταύρους.

---

nostram absolutam factum esse suspicatur. Vid. ad ε 34 ζ 263 sqq. || ἐρρίζωσεν] cf. η 122.

164 καταπρηνεῖ] *-νὲς? vid. § 73 et Π 792 et ad ν 199. || νόσφ' ἐβεβήκει] νόσφι β. mss.

165 πτερόεντ' ἀγόρευον] -ντα προσηύδα G[1] (cf. α 122).

169 προεφαίνετο] προυφ. mss.

170 οὐ] οὐκ mss.

172-177] e libro ϑ irrepsisse vidit Ar.

172 παλαίφατα] cf. ι 507.

173 ἐμοῖ' § 59] ἐμοῦ mss. || ἀγάσεσθαι] -σασθαι mss.; Aristarchum ἀγάσεσθαι legisse e corrupto scholio effecit Cobet, cf. vs. par.

174 ἥμισιν § 93] ἡμῖν mss.; vid. ad ϑ 566. || ἀπήμονες] ἀμύμονες U[2]; cf. ϑ 566.

175 ἐυϜεργέα M U] περικαλλέα mss. pleraque (ut vs. 149). Cf. vs. par.

177 πόλι' § 74] πόλει vel πόλιν mss. || ἀμφικαλύψειν] -ψαι G F mss. alia.

178 ἀγόρευ' ὁ] ἀγόρευε?

179 κεν § 326] ἂν mss.

180 παύεσθε P H[1] M] παύσεσθε vel παύσασθε mss. pleraque.

184] finem hic habet *Ulixis reditus*, cui *Ulixis ultio* ab alio poeta est subiuncta. Dubitaverit autem quispiam an quaedam interciderint, sed negat hoc Kirchhoff, et rogantibus quid igitur de Phaeacibus factum sit respondet: „Ulixem ultimum e mortalibus Phaeaces domum deduxerunt: posthac nemo fabulosam eorum regionem oculis suis usurpabit; poenam vero, quam minitatus fuerat Neptunus, utrum de iis sumserit an precibus hostiisque delenitus remiserit, quis est qui dicere possit?”

παῖδά τε σὸν φιλέει καὶ ἐχέφρονα Πηνελόπειαν.
δήεις τόν γε σύεσσι παρήμενον· αἳ δὲ νέμονται
πὰρ Κόρακος πέτρῃ ἐπί τε κρήνῃ Ἀρεθούσῃ,
ἔσθουσαι βάλανον μενοϝεικέα καὶ μέλαν ὕδωρ
πίνουσαι, τά θ' ὕεσσι τρέφει τεθαλυῖαν ἀλοιφήν.
ἔνθα μένειν καὶ πάντα παρήμενος ἐξερέεσθαι,
ὄφρα κ' ἐγὼν ἔλθω Σπάρτην εἰς καλλιγύναικα
Τηλέμαχον καλέουσα, τεὸν φίλον υἱόν, Ὀδυσσεῦ,
ὅς τοι ἐς εὐρύχορον Λακεδαίμονα πὰρ Μενέλαον
ᾤχετο πευσόμενος μετὰ σὸν κλέος, εἴ ποθ' ἔτ' εἴης."
τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
„τίπτε τ' ἄρ' οὔ ϝοι ἔϝειπες, ἐνὶ φρεσὶ πάντα ϝιδυῖα;
ἦ ἵνα που καὶ κεῖνος ἀλώμενος ἄλγεα πάσχῃ
πόντον ἔπ' ἀτρύγετον, βίοτον δέ ϝοι ἄλλοι ἔδωσι;"
τὸν δ' ἠμείβετ' ἔπειτα θεὰ γλαυκῶπις Ἀθήνη·
„μὴ δή τοι κεῖνός γε λίην ἐνθύμιος ἔστω.
αὐτή μιν 'πόμπευον, ἵνα κλέος ἐσθλὸν ἄροιτο 422b = Ε 3
κεῖσ' ἐλθών· ἀτὰρ οὔ τιν' ἔχει πόνον, ἀλλὰ ϝέκηλος
ἧσται ἐν Ἀτρεΐδαο δόμοις, παρὰ δ' ἄσπετα κεῖται.
ἦ μέν μιν λοχάουσι νέοι σὺν νηὶ μελαίνῃ 425 cf. ο 28 [sqq.
ϝιέμενοι κτεῖναι, πρὶν πατρίδα γαῖαν ἱκέσθαι· 426-428 = ο 30
426 = δ 823

407-410] del. Duentzer.

408 *Κόρακος*] nomen non redit; *κόρακος* Lobeck, vid. ad *Λ* 99. De loco quo habitabat Eumaeus cf. *ξ* 399, 533 *ω* 150. || *Ἀρεθούσῃ*] etiam hoc nomen aliunde ignotum; Didymus octo fontes enumeraverat quibus inditum erat hoc nomen, quod primitus fuit participium verbo *ἄρδειν* cognatum (cf. *ῥαθάμιγγες* et vid. Herodian. *π. μον. λέξ.* p. 13 Dind.)., vid. ad *Λ* 99. Crates legebat *κρήνης μελανύδρου* teste schol. Theocr. I 117.

409 *μέλαν*] aquae epitheton perpetuum esse videtur; sunt tamen qui fontem *umbrosum* indicari putent. *Turbidam* aquam, porcis adamatam scilicet, ridicule interpretatur Aelian. Hist. Anim. V 45.

412-428] addidit diasceuasta qui *itineris Telemachi* partem posteriorem inseruit *ultioni Ulixis*; vid. ad *α* 88 sqq.; del. Duentzer, vs. 425-428 Kammer.

412 *ὄφρα κ'* § 326] *ὄφρ' ἂν* mss.

414 *πὰρ*] *πρὸς* G F P mss. alia.

415 *μετὰ σὸν κλέος*] vid. ad *Δ* 227 et *α* 283. || *εἴ* G F] *ἤ* vel *ἤν* mss. multa; cf. § 327. || *ποθ'* § 322] *που* mss. || *εἴης*] Thiersch *εἴῃς*, cf. § 109 et 302.

417 *τ' ἄρ*] *γὰρ* mss. complura; cf. *Σ* 182. || *πάντα ϝιδυῖα* § 160] *πάντ' εἰδυῖα* mss.

418 *καὶ κεῖνος*] *κἀκεῖνος* mss. multa; cf. § 9 et 97.

419 *ϝοι*] *μοι* Plut. Mor. 22 *e*, *τοι* G. || *ἔδωσι*] *ἔδουσι(ν)* mss. pleraque.


547-557] del. Hartman; vs. 554 damnaverat PKnight, vs. 550-557 Duentzer.

549 *ἐπὶ κληῖσι*] vid. ad *β* 419.

552 *ἀπ'*] *ἐπ'* G[1] F X U.

553 *ἀνώσαντες*] comp. †, simplex *Α* 220 etc.; significatur navis in aquam (contis) denuo protrusa.

555 *προβιβάντα* Bekker] *-ῶντα* mss.; vid. ad *Γ* 22 *Η* 213 *Μ* 277.

557 *Ϝανάκτεσσ'* Ahrens] *ἀνάκτεσσιν* U, *-κτεσιν* mss. cetera. Cf § 64. || *ἤπια Ϝειδώς*] vid. ad *Ε* 326.

ΟΔΥΣΣΕΙΑΣ π.

Ἀναγνωρισμὸς Ὀδυσσέως ὑπὸ Τηλεμάχου.

τὼ δ' αὖτ' ἐν κλισίῃ Ὀδυσεὺς καὶ δῖος ὑφορβὸς 1 = ο 301
ἠντύνοντ' ἄριστον ἅμ' ἠόι, κηαμένω πῦρ, 2ᵃ = Ω 124ᵇ
ἔκπεμψάν τε νομῆας ἅμ' ἀγρομένοισι σύεσσι.
Τηλέμαχον δὲ περίσσαινον κύνες ὑλακόμωροι
οὐδ' ὕλαον προσιόντα· 'νόησε δὲ δῖος Ὀδυσσεὺς 5ᵇ = Ε 669
σαίνοντάς τε κύνας, περί τε κτύπος ἦλθε ποδοῖιν. 6ᵇ cf. τ 444
αἶψα δ' ἄρ' Εὔμαιον Ϝέπεα πτερόεντα προσηύδα· 7 = ρ 543
„Εὔμαἰ, ἦ μάλα τίς τοι ἐλεύσεται ἐνθάδ' ἑταῖρος
ἢ καὶ γνώριμος ἄλλος, ἐπεὶ κύνες οὔ Ϝ' ὑλάουσι
ἀλλὰ περισσαίνουσι· ποδῶν δ' ὑπὸ δοῦπον ἀκούω."
οὔ πω πᾶν 'ϜέϜρητο Ϝέπος, ὅτε Ϝοι φίλος υἱὸς 11ᵃ = Κ 540
ἔστη ἐνὶ προθύροισι. ταφὼν δ' ἀνόρουσε συβώτης, 12 cf. Λ 777
ἐκ δ' ἄρα Ϝοι χειρῶν 'πέσον ἄγγεα, τοῖσ' ἐπονεῖτο
κιρνὰς αἴθοπα Ϝοῖνον· ὃ δ' ἀντίος ἦλθε Ϝάνακτος,
'κύσσε δέ μιν κεφαλήν τε καὶ ἄμφω φάεα καλὰ 15 = ρ 39 cf. τ 417

---

1 κλισίῃ] -ης F P H² M X n mss. alia; cf. ο 301. || δῖος] θεῖος F.

2 ἠντύν.] ἐντύν. mss. || -νοντ' ἄριστον] -νοντο ἄριστον F² H W. Cf. Ω 124. || ἠόι § 77] ἠοῖ mss. || κηαμένω G¹] κειαμένω mss. cett., cf. § 153.

4 ὑλακόμωροι] vid. ad Β 692.

7 Ϝέπεα πτερόεντα προσηύδα] προσεφώνεεν ἐγγὺς ἐόντα habet Dionysius Halicarnassensis de comp. verb. 3.

8 ἑταῖρος] ἑταίρων G.

9 γνώριμος] †, cf. γνωτός Γ 174 etc. || οὔ Ϝ' Naber] οὐχ mss.

11 'ϜέϜρητο § 306] εἴρητο mss.

13 sq.] del. Duentzer.

13 πέσον F U n] πέσεν mss. pleraque.

14] in margine habet G. || ὃ δ'] vid. ad Λ 191. || ἀντίος] -ον F U¹ n. Vid. ad Ζ 54. || ἦλθε] ἤλυθ' mss.

15 φάεα καλὰ] *φάεε καλώ? vid. Π 348 sq. et ad Λ 43 Ν 435. Cf. tamen Θ 135 υ 365 ρ 302.

χεῖράς τ' ἀμφοτέρας· θαλερὸν δέ Ϝοι ἔκπεσε δάκρυ. 16^b = *B* 266
ὡς δὲ πατὴρ Ϝὸν παῖδα φίλα φρονέων ἀγαπάζῃ
ἐλθόντ' ἐξ ἀπίης γαίης δεκάτῳ ἐνιαυτῷ, 18^a cf. *Δ* 270
μοῦνον τηλύγετον, τῷ ἔπ' ἄλγεα πολλὰ μογήσῃ,
ὣς τότε Τηλέμαχον θεοϜειδέα δῖος ὑφορβὸς
πάντ' ἔκυσεν περιφὺς ὡς ἐκ θανάτοιο φυγόντα,
καί Ϝ' ὀλοφυρόμενος Ϝέπεα πτερόεντα προσηύδα· 22 cf. ρ 40
„ἦλθες, Τηλέμαχε, γλυκερὸν φάος; οὔ σ' ἔτ' ἐγώ γε 23 sq. = ρ 41 sq.
ὄψεσθαι ἐφάμην, ἐπεὶ ᾤχεο νηὶ Πύλονδε. 24^b cf. 142
ἀλλ' ἄγε νῦν εἴσελθε, φίλον τέκος, ὄφρα σε θυμῷ
τέρψομαι εἰσοράων νέον ἄλλοθεν ἔνδον ἐόντα. 26^b cf. γ 318
οὐ μὲν γάρ τι θάμ' ἀγρὸν ἐπέρχεαι οὐδὲ νομῆας, 27 cf. ο 504
ἀλλ' ἐπιδημεύεις· ὣς γάρ νύ τοι ἔϜϜαδε θυμῷ,
ἀνδρῶν μνηστήρων ἐσορᾶν ἀίδηλον ὅμιλον.“ 29 cf. ψ 303
τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα· 30 sq.^{a} = ρ 598 sq.
„ἔσσεται οὕτως, ἄττα· σέθεν δ' ἕνεκ' ἐνθάδ' ἱκάνω,
ὄφρα σέ τ' ὀφθαλμοῖσι Ϝίδω καὶ μῦθον ἀκούσω,
ἤ μοι ἔτ' ἐν μεγάρῳ μήτηρ μένει, ἦέ τις ἤδη
ἀνδρῶν ἄλλος ἔγημεν, Ὀδυσσῆος δέ ποθ' εὐνὴ
χήτε' ἐνευναίων κάκ' ἀράχνια κεῖται ἔχουσα.“

---

16 *δέ Ϝοι ἔκπεσε δάκρυ*] *κατὰ δάκρυον εἶβον* (immo *εἴβων*) H K (cf. λ 391).

17 sqq.] cf. *I* 481 sq.

17 *ἀγαπάζῃ*] *-ζει* mss. multa.

18 *ἐλθόντ'*] *ἐλθὼν* P H. || *ἀπίης*] vid. ad *Δ* 270.

19 *τηλύγετον*] vid. ad *Γ* 175.

21 *πάντ' ἔκυσεν*] *πάντα κύσεν* mss.

22 sqq.] diasceuastae debentur quae Telemachi iter respiciunt: *ὀλοφυρόμενος* vs. 22 (?), 24^b, 26^b, 33-39 (29-39 Fick).

22 *Ϝ'] ῥ' mss.

23 *φάος*] *mea lux!* de homine nonnisi hic et vs. parall. usurpatur. Nauck *θάλος*, vid. h. Cer. 66 et ad *X* 87. Vulgatam sequi videtur Eur. Hercul. 531 Ion. 1439.

23 sq. *οὔ σ' ... ὄψεσθαι*] *οὐκ ... ὄψεσθαί σ'* Naber probabiliter; vid. § 14.

24] in margine n subiungitur *λάθρῃ ἐμεῦ ἀέκητι φίλου μετὰ πατρὸς ἀκουήν* (= ρ 43).

26 *εἰσοράων* § 191] *-ρόων* mss.

27-39] del. Duentzer, vs. 30-39 Kirchhoff; vid. ad vs. 22 sqq.

28 *ἐπιδημεύεις*] †, cf. *ἐπιδήμιος* *I* 64 etc. || *ἔϜϜαδε* § 40] *εὔαδε* mss.

29] iter Telemachi ignorabat qui haec cecinit. || *ἐσορᾶν* P] *προσορᾶν* G F M X.

33-35] ita loqui vix potuisse Telemachum post iter triginta quinque dierum, horum igitur versuum auctorem videri Telemachum in insulam Cretam cum Zenodoto deduxisse (vid. ad α 93 et 285), observat Naber (Mnemos. 1891 p. 322).

33 *ἤ*] *εἴ* mss. complura, cf. § 327. || *μεγάρῳ* Nauck] *-ροις* Ar. mss.; cf. § 60. Pluralis tamen legitur vs. 38.

34 *ποθ'* § 322] *που* mss.

35 *χήτε'* § 71] *χήτει* mss. || *ἐνευναίων*] l. a. *-ναίῳ* (male). Adi. redit ξ 51, *ἐνεύναια*, de *lecti stratis* usurpatum. Idemne hoc loco significaret an masculini esset generis (= *τῶν ἐνευνηθησομένων*) dubitabant veteres. Hoc censet Hartman. || *ἀράχνια*] cf. Hesiod. Oper. 475 Theocrit. XVI 96 Catull. XIII 8 Propert. IV 5, 33.

τὸν δ' αὖτε προσέϜειπε συβώτης ὄρχαμος ἀνδρῶν· 36 = ο 351
„καὶ λίην κείνη γε μένει τετληότι θυμῷ 37-39 = λ 181 sqq.
σοῖσιν ἐνὶ μεγάροισιν· ὀϊζυραὶ δέ Ϝοι αἰεὶ
φθίνουσιν νύκτες τε καὶ ἤματα δάκρυ χεούσῃ.“
ὣς ἄρα φωνήσας Ϝοι ἐδέξατο χάλκεον ἔγχος· 40 = ο 282
αὐτὰρ ὅ γ' εἴσω ἴεν καὶ ὑπέρβη λάινον οὐδόν. 41 cf. ρ 30
τῷ δ' ἕδρης ἐπιόντι πατὴρ ὑπέϜειξεν Ὀδυσσεύς· 41ᵇ = ψ 88
Τηλέμαχος δ' ἑτέρωθεν ἐρήτυε 'φώνησέν τε·
„ἧσο, ξεῖν'· ἧμες δὲ καὶ ἄλλοθι δήομεν ἕδρην
σταθμῷ ἐν ἡμετέρῳ· πάρα δ' ἀνὴρ ὃς καταθήσει.“
ὣς 'φάθ', ὃ δ' αὖτις ἰὼν κατ' ἄρ' ἕζετο· τῷ δὲ συβώτης
'χεῦεν ὕπο χλωρὰς ῥῶπας καὶ κῶας ὕπερθε·
ἔνθα καθέζετ' ἔπειτα Ὀδυσσῆος φίλος υἱός.
τοῖσιν δὲ κρεάων πίνακας παρέθηκε συβώτης 49 cf. α 141
ὀπταλέων, ἅ ῥα τῇ προτέρῃ ὑπέλειπον ἔδοντες,
σῖτον δ' ἐσσυμένως παρενήεεν ἐν κανέοισι, 51 cf. α 147
ἐν δ' ἄρα κισσυβίῳ 'κίρνη μελιϜηδέα Ϝοῖνον· 52 sq.ᵃ = ξ 78 sq.
αὐτὸς δ' ἀντίον ἷζεν Ὀδυσσῆος θείοιο. 53 = Ι 218
οἳ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον. 54 sq. = Ι 91 sq.
αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον εἷντο,
δὴ τότε Τηλέμαχος προσεφώνεε δῖον ὑφορβόν·
„ἄττα, πόθεν τοι ξεῖνος ὅδ' ἵκετο; πῶς δέ Ϝε ναῦται 57ᵇ cf. α 171
ἤγαγον εἰς Ἰθάκην; τίνες ἔμμεναι ηὐχετάοντο; 58 = α 172
οὐ μὲν γάρ τί Ϝε πεζὸν ὀίομαι ἐνθάδ' ἱκέσθαι.“ 59 cf. α 173
τὸν δ' ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·
„τοιγὰρ ἐγώ τοι, τέκνον, ἀληθέα πάντ' ἀγορεύσω. 61 = γ 254
ἐκ μὲν Κρητάων γένος εὔχεται εὐρειάων, 62 cf. ξ 199

---

39 φθίνουσιν] φθινύθουσι F M Eust. metro invito. An *νύκτες τε φθινύθουσι? cf. ν 338.

40 Ϝοι] vid. ad Α 596.

42 ὑπέειξεν Ar. (?)] ὑπόειξεν mss.; ὑπέϜεικεν (*cedere volebat*) probabiliter Hartman.

44 ἧσο] ἧσ' ὦ G F Eust. || ἧμες § 92] ἡμεῖς mss.

45] om. M^1.

47 ῥῶπας] vid. ad κ 166, et cum toto versu cf. ξ 49. || κῶας ὕπερθε] κώεα καλά G.

49 sq.] vituperabat Aristophanes teste Athenaeo VI 228 *c*, *d*; vs. 50 in margine habet X, om. D Z k.

49 δὲ F^1 M X D] δ' αὖ mss. pleraque. || κρεάων § 72] κρειῶν mss.; in plerisque mss. est πίνακας κρειῶν.

50 ὑπ.] κατ. P H mss. alia (cf. ι 292).

51 παρενήεεν (-νάϜεεν) PKnight] παρενήνεεν (-ον) mss.; vid. ad *Η* 428.

52 κισσυβίῳ] vid. ad ι 346.

53] del. Duentzer. || ἀντίον] -ος P^1; vid. ad *Ζ* 54.

55 εἷντο] ἕντο mss.

56 δῖον] θεῖον H.

58 ηὐχετάοντο § 191] εὐχετόωντο (-νται) mss.

62] vid. ad ξ 199. || εὐρειάων] εὐρειτάων P.

φησὶ δὲ πολλὰ βροτῶν ἐπὶ Ϝάστεα δινηθῆναι
πλαζόμενος· ὣς γάρ Ϝοι ἐπέκλωσεν τά γε δαίμων.
νῦν αὖ Θεσπρωτῶν ἀνδρῶν παρὰ νηὸς ἀποδρὰς
ἤλυθ' ἐμὸν πρὸς σταθμόν, ἐγὼ δέ τοι ἐγγυαλίξω.
Ϝέρξον ὅπως ἐθέλεις· ἱκέτης δέ τοι εὔχεται εἶναι.“ 67a = Δ 37
τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα· 67b cf. ε 450
„Εὔμαι', ἦ μάλα τοῦτο Ϝέπος θυμαλγὲς ἔϜειπες· 69 cf. Γ 204
πῶς γὰρ δὴ τὸν ξεῖνον ἐγὼν ὑποδέξομαι οἴκῳ;
αὐτὸς μὲν νέος εἰμὶ καὶ οὔ πω χερσὶ πέποιθα 71b sq. = φ 132 [sq.
ἄνδρ' ἀπαμύνασθαι, ὅτε τις πρότερος χαλεπήνῃ· 72 = Ω 369
μητρὶ δ' ἐμῇ δίχα θυμὸς ἐνὶ φρεσὶ μερμηρίζει, 73b = υ 38
ἢ αὐτοῦ παρ' ἐμοί τε μένῃ καὶ δῶμα κομίζῃ
εὐνήν τ' αἰδομένη πόσιος δήμοιό τε φῆμιν, 75 = τ 527
ἦ ἤδη ἅμ' ἕπηται, Ἀχαιῶν ὅς τις ἄριστος 76 sq. cf. υ 335 76 cf. τ 528
μνάητ' ἐν μεγάροισιν ἀνὴρ καὶ πλεῖστα πόρῃσι. 77a = τ 529
ἀλλ' ἦ τοι τὸν ξεῖνον, ἐπεὶ τεὸν ἵκετο δῶμα, 78b = γ 368
Ϝέσσω μιν χλαῖνάν τε χιτῶνά τε Ϝείματα καλά, 79 = ρ 550 φ 339 cf. ξ 154, 396
δώσω δὲ ξίφος ἄμφηκες καὶ ποσσὶ πέδιλα, 80 cf. φ 341
πέμψω δ' ὅππῃ μιν κραδίη θυμός τε κελεύει. 81 = φ 342
εἰ δ' ἐθέλεις, σὺ κόμισσον ἐνὶ σταθμοῖσιν ἐρύξας·
Ϝείματα δ' ἐνθάδ' ἐγὼ πέμψω καὶ σῖτον ἅπαντα
ἔδμεναι, ὥς κεν μή σε κατατρύχῃ καὶ ἑταίρους. 84b cf. ο 309
κεῖσε δ' ἄρ' οὔ μιν ἐγώ γε μετὰ μνηστῆρας ἐάσω
ἔρχεσθαι, λίην γὰρ ἀτάσθαλον ὕβριν ἔχουσι·
μή μιν κερτομέωσιν· ἐμοὶ δ' ἄχος ἔσσεται αἰνόν.
πρῆξαι δ' ἀργαλέον τι μετὰ πλεόνεσσιν ἐόντα

64 ἐπέκλωσεν] vid. ad Ω 525.

65 αὖ G P H^1 M] δ' αὖ F H^2 X. || παρὰ] ἐκ F D, ἀπὸ U n.

66 τοι] σοι F H^2. || ἐγγυαλίξω] -ζω Hartman.

69 θυμαλγὲς] νημερτὲς G male (voluitne νηκερδὲς? cf. ξ 509).

70-77] del. Duentzer.

70 ἐγὼν] ἐμῷ M. || οἴκῳ] neglecto Ϝ; F οἴκοι, Fick ἔνδον.

72 ἀπαμύνασθαι] ἀπαλέξασθαι schol. T 326. || ὅτε] ὅ τε (?) Ar.

73 δ' ἐμῇ] δ' ἐμοὶ U, δέ μοι G M. Cf. β 50.

77 μνάητ' ἐν PKnight] μνᾶται ἐνὶ mss.; cf. § 190 et 191. Requiritur subi (generalis).

79 Ϝέσσω μιν] ἕσσω μεν F, ἕσσωμι schol. (forma futuri inaudita). Anacoluthon ferri posse videtur (vid. ad Β 358), pronomen autem legitur locis parall.

80] del. Duentzer.

84 κεν § 326] ἂν mss.

85 ἄρ F] ἂν mss. cett., quod nimis dubitanter dictum videtur; cf. § 108 et 326. || ἐάσω P H M] ἐῶμι mss. alia; vid. § 191. Fick μνηστῆρσ' ἐάοιμι (μνηστῆρσιν habet n). Optativus imperfecti verbi ἐᾶν in Homero non recurrit.

86 ὕβριν] ἔργον M K male.

88] vid. υ 313 (et ad β 244 sq.).

ἄνδρα καὶ ἴφθιμον, ἐπεὶ ἦ πολὺ φέρτεροί εἰσι.“ 89ᵇ = K 557
90 τὸν δ' αὖτε προσέϝειπε πολύτλας δῖος Ὀδυσσεύς·
„ὦ φίλ', ἐπεί θήν μοι καὶ ἀμείψασθαι θέμις ἐστὶ,
ἦ μάλα μοι καταδάπτετ' ἀκούοντι φίλον ἦτορ,
οἷα φατὲ μνηστῆρας ἀτάσθαλα μηχανάεσθαι 93 sq. cf. γ 212 sq. 93 cf. σ 143
ἐν μεγάροισ', ἀϝέκητι σέθεν τοιούτου ἐόντος. 93ᵇ cf. γ 207
95 ϝειπέ μοι, ἠὲ ϝεκὼν ὑποδάμνασαι, ἦ σέ γε λαοὶ 95 sq. = γ 214 sq.
ἐχθαίρουσ' ἀνὰ δῆμον ἐφεσπόμενοι θεοῦ ὀμφῇ,
ἦ τι κασιγνήτοισ' ἐπιμέμφεαι, οἷσί περ ἀνὴρ 97 cf. 115
μαρναμένοισι πέποιθε, καὶ εἰ μέγα νεῖκος ὄρηται. 98 = 116
αἲ γὰρ ἐγὼν οὕτω νέος εἴην τῷδ' ἐπὶ θυμῷ, 99 cf. N 485
100 ἢ πάις ἐξ Ὀδυσῆος ἀμύμονος, ἠὲ καὶ αὐτός·
102 αὐτίκ' ἔπειτ' ἀπ' ἐμεῖο κάρη τάμοι ἀλλότριος φώς, 102 sq.ᵃ = E 214 sq.
103 εἰ μὴ ἐγὼ κείνοισι κακὸν πάντεσσι γενοίμην.
105 εἰ δ' αὖ με πληθυῖ δαμασαίατο μοῦνον ἐόντα,
βουλοίμην κ' ἐν ἐμοῖσι κατακτάμενος μεγάροισι
107 τεθνάμεν' ἢ τάδε γ' αἰὲν ἀϝεικέα ϝέργ' ὁράεσθαι, 107 = υ 317
110 καὶ ϝοῖνον διαφυσσόμενον καὶ σῖτον ἔδοντας
μὰψ αὔτως, ἀτέλεστον, ἀνηνύστῳ ἐπὶ ϝέργῳ.“ 111ᵇ cf. Δ 175
τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα· 112 sq. = ο 265 sq.
„τοιγὰρ ἐγώ τοι, ξεῖνε, μάλ' ἀτρεκέως ἀγορεύσω.

---

101 ἔλθοι ἀλητεύων, ἔτι γὰρ καὶ ϝελπίδος αἶσα. 101ᵇ = τ 84
104 ἐλθὼν εἰς μέγαρον Λαερτιάδα' Ὀδυσῆος. 104 cf. φ 262
108 ξείνους τε στυφελιζομένους δμῳάς τε γυναῖκας 108 sq. = υ 318 sq.
ῥυστάζοντας ἀϝεικελίως κατὰ δώματα καλὰ
101 Ar. — ‖ 104 Zen. Ar. —

---

92 *μοι ... ἀκούοντι] μευ ... ἀκούοντος mss.; vid. § 92 et de producta syllaba -ι § 19. Dativus in huiusmodi sententiis sollemnis est, vid. α 48, 316 ρ 46, 514 Υ 169 etc. ‖ καταδάπτετ'] cf. α 48.

93 ἀτάσθαλα] ἀμήχανα G. ‖ μηχανάεσθαι § 191] -νάασθαι mss.

96 ἐφεσπόμενοι § 247] ἐπισπόμενοι mss.

99-111] del. Lehrs; vs. 100 sq. et 108-111 deleverat PKnight.

99 ἐπὶ Ar. (vid. Did. ad N 485)] ἐνὶ mss.

103 γενοίμην] vid. ad E 215.

104 Λαερτιάδα'(ο) P] -δεω mss. cett.; cf. § 55.

105 με] μ' ἐν H². ‖ πληθυῖ] cf. § 75.

106 sq.] similes sunt sententiae O 511 sq. μ 350 sq. φ 154 sqq.

106 κ' ἐν] κεν G P Ar.; cf. Θ 337.

107 τάδε γ'] τάδε τ' M, αὐτοῦ P; vid. ad υ 317. ‖ δράεσθαι § 191] δράασθαι mss.

108 sq.] del. Kirchhoff; non est cur Ulixes hoc tempore queratur de hospitibus contumeliose habitis.

109 ῥυστάζοντας] vid. ad λ 580.

110 διαφυσσόμενον] -νους P.

111 αὔτως] οὕτως G. ‖ ἀνηνύστῳ] † (ἀνύω Δ 56 etc., ἄνυσις B 347 δ 544); cf. ἀτελεύτητος A 527 Δ 175, ἀτέλεστος Δ 26 etc.

113 ξεῖνε] ταῦτα G (cf. α 179). ‖ ἀγορεύσω] καταλέξω U.

οὔτε τί μοι πᾶς δῆμος ἀπεχθόμενος χαλεπαίνει,
οὔτε κασιγνήτοισ' ἐπιμέμφομαι, οἷσί περ ἀνὴρ 115 cf. 97
μαρναμένοισι πέποιθε, καὶ εἰ μέγα νεῖκος ὄρηται. 116 = 98
ὧδε γὰρ ἡμετέρην γενεὴν 'μούνωσε Κρονίων·
μοῦνον Λαέρτην Ἀρκέσσιος υἱὸν ἔτικτε,
μοῦνον δ' αὖτ' Ὀδυσῆα πατὴρ ἔτεκ'· αὐτὰρ Ὀδυσσεὺς
μοῦνον ἔμ' ἐν μεγάροισι τεκὼν ἔλιπ', οὐδ' ἀπόνητο.
τῷ νῦν δυσμενέες μάλα μυρίοι εἴσ' ἐνὶ Ϝοίκῳ.
ὅσσοι γὰρ νήσοισιν ἔπι κρατέουσιν ἄριστοι, 122-128 = α 245 sqq.
Δουλιχίῳ τε Σάμῃ τε καὶ ὑλήεντι Ζακύνθῳ,
ἠδ' ὅσσοι κραναὴν Ἰθάκην κάτα κοιρανέουσι,
τόσσοι μητέρ' ἐμὴν μνῶνται, τρύχουσι δὲ Ϝοῖκον.
ἡ δ' οὔτ' ἀρνέεται στυγερὸν γάμον οὔτε τελευτὴν
ποιῆσαι δύναται· τοὶ δὲ φθινύθουσιν ἔδοντες
Ϝοῖκον ἐμόν· τάχα δή με διαρραίσουσι καὶ αὐτόν.
ἀλλ' ἦ τοι μὲν ταῦτα θεῶν ἐν γούνασι κεῖται. 129 = P 514
ἄττα, σὺ δ' ἔρχεο θᾶσσον, ἐχέφρονι Πηνελοπείῃ 130ᵇ sq. cf. ο 41 sq.
Ϝείφ', ὅτι Ϝοι σάος εἰμὶ καὶ ἐκ Πύλου εἰλήλουθα.
αὐτὰρ ἐγὼν αὖθι μενέω, σὺ δὲ δεῦρο νέεσθαι
οἴῃ ἀπαγγείλας· τῶν δ' ἄλλων μή τις Ἀχαιῶν
πευθέσθω· πολλοὶ γὰρ ἐμοὶ κακὰ μηχανάονται."
τὸν δ' ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·
„γιγνώσκω, φρονέω· τά γε δὴ νοέοντι κελεύεις. 136 = ρ 193, 281
ἀλλ' ἄγε μοι τόδε Ϝειπὲ καὶ ἀτρεκέως κατάλεξον, 137 = K 384
εἰ καὶ Λαέρτῃ αὐτὴν ὁδὸν ἄγγελος ἔλθω
δυσμόρῳ, ὃς τῆος μὲν Ὀδυσσῆος μέγ' ἀχεύων
Ϝέργα τ' ἐπωπτεύεσκε μετὰ δμώων τ' ἐνὶ Ϝοίκῳ

---

114 *ἀπεχθόμενος*] vid. ad δ 105; *ἀπεχθομένῳ* IHVoss.

117 *'μούνωσε*] vid. ad ο 386.

118 *Ἀρκέσσιος*] *Ἀρκείσιος* mss.; vid. ad δ 755.

119] vid. ad ο 364. || **ἔτεκ'*] *τέκεν* mss.

120 **ἔλιπ'*] *λίπεν* mss. || *οὐδ' ἀπόνητο*] cf. λ 324.

121-129] del. Duentzer.

123] vid. ad α 246.

126 *ἀρνέεται* § 191] *ἀρνεῖται* mss.

129 *θεῶν — κεῖται*] vid. ad P 514.

130 *ἐχέφρονι*] *περίφρονι* metro invito M[1] et l. a. in schol.

131] hunc vs. et vs. 135-153 diasceuasta mutavit aut fecit (vid. ad vs. 22 sqq.); Kammer del. vs. 132-152. || *σάος* § 62] *σῶς* mss.

132 *αὖθι* § 322] *αὐτοῦ* mss.

134 *μηχανάονται* § 191] *-νόωνται* mss.

138 *αὐτὴν ὁδὸν*] cf. § 98.

139 *τῆος* § 323] *τείως* mss.

140 *ἐπωπτεύεσκε* U[2] L W] *ἐποπτ.* mss. cett.; verbum †, vid. ad ξ 261. || *δμώων*] **δμωσίν*? cf. § 316. || *τ'*] *δ'* P H M mss. alia.

'πῖνε καὶ ἧσθ', ὅτε θυμὸς ἐνὶ στήθεσσιν ἀνώγοι·
αὐτὰρ νῦν, ἐξ οὗ σύ γ' ἀπῴχεο νηὶ Πύλονδε, 142b cf. 24
οὔ πώ μιν φασὶν φαγέμεν καὶ πιέμεν' αὔτως
οὐδ' ἐπὶ Ϝέργα Ϝιδεῖν, ἀλλὰ στοναχῇ τε γόῳ τε
ἧσται ὀδυρόμενος, φθινύθει δ' ἀμφ' ὀστεόφι χρώς." 145b cf. μ 45
τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
„ἄλγιον· ἀλλ' ἔμπης μιν ἐάσομεν ἀχνύμενοί περ. 147b = Σ 112
εἰ γάρ πως εἴη αὐτάγρετα πάντα βροτοῖσι,
πρῶτόν κεν τοῦ πατρὸς ἑλοίμεθα νόστιμον ἦμαρ.
ἀλλὰ σύ γ' ἀγγείλας ὀπίσω κίε, μηδὲ κατ' ἀγροὺς
πλάζεσθαι μετὰ κεῖνον· ἀτὰρ πρὸς μητέρα Ϝειπεῖν
ἀμφίπολον ταμίην ὀτρυνέμεν' ὅττι τάχιστα
κρύβδην· κείνη γάρ κεν ἀπαγγείλειε γέροντι."
ἦ ῥα καὶ ὦρσε συφορβόν· ὃ δ' εἵλετο χερσὶ πέδιλα,
δησάμενος δ' ὑπὸ ποσσὶ πόλινδ' ἴεν.

οὐδ' ἄρ' Ἀθήνην
'λῆθεν ἀπὸ σταθμοῖο κιὼν Εὔμαιος ὑφορβός·
ἀλλ' ἥ γε σχεδὸν ἦλθε, δέμας δ' ἐϜέϜικτο γυναικὶ 157b sq. = ν 288 sq.
καλῇ τε μεγάλῃ τε καὶ ἀγλαὰ Ϝέργα Ϝιδυίῃ.
στῆ δὲ κατ' ἀντίθυρον κλισίης Ὀδυσῆι φανεῖσα·
οὐδ' ἄρα Τηλέμαχός Ϝε 'Ϝίδ' ἀντίον οὐδ' ἐνόησε, —
οὐ γάρ πως πάντεσσι θεοὶ φαίνονται ἐναργές, — 161 cf. Υ 131

152 sq. Ar. —

142 *σύ γ' ἀπῴχεο* Barnes] *σύ γ' ἐπῴχεο* G, *σύ γε ᾤχεο* mss. cett. hiatu vitioso; an **ἐξ οἷο σύ γ' ᾤχεο*? sed *οἷο* forma in Hom. non extat. Nauck *οὗ τε σύ γ' ᾤχεο*.

143 *φαγέμεν*] cf. § 126. ‖ *πιέμεν'*] suspecta hic et σ 3 est syllaba *πι-* producta; vid. *Η* 481 *Π* 825. Barnes *πινέμεν*, sed requiritur aoristus. ‖ *αὔτως*] **αὖτις*? l. a. *ἔμπης*.

144 *Ϝιδεῖν*] *τραπέσθαι* P (*τρ. ἀτὰρ*?).

145 *ἧσται ὀδυρόμενος*] *ἧσται* (sic) *ὀδυρόμενον* P, *ἧσθαι ὀδυρόμενον* F. ‖ *φθινύθει*] *μινύθει* n (cf. δ 374, 467 μ 46).

147 *ἄλγιον*] cf. δ 292. ‖ *μιν*] *μὲν* mss. complura. ‖ *ἀχνύμενοι*] *-νον* F l n et l. a. apud Eust.; vid. κ 174 et ad *Χ* 416 σ 178.

148 *αὐτάγρετα*] redit h. Merc. 474, 489. cf. *ἀγρετός* *Α* 526.

149 *κεν τοῦ*] **πρῶτά κεν αὐτοῦ*?

151 *μετὰ κεῖνον* § 97] *μετ' ἐκεῖνον* mss. ‖ *μητέρα*] l. a. *μ̅ρ̅σ'* (i. e. *μητρός*, leg. *μητέρος*?).

152 sq.] damnarunt veteres, nullum enim eventum haec habuisse.

157 *ἐϜέϜικτο* § 160] *ἤικτο* mss.

158 *Ϝέργα Ϝιδυίῃ* § 160] *ἔργ' εἰδυίῃ* mss.

159 *κατ'*] *παρ'* Apoll. lex. ‖ *ἀντίθυρον*] †, cf. *πρόθυρον* passim, *ὑπερθύριον* η 90. Ante ianuam (extra domum, vid. vs. 165 sq.) constitit dea, soli Ulixi conspicua.

160 sq.] de re vid. *Α* 197 sq.

160 *οὐδ' ἄρα*] *οὐ γὰρ* P. ‖ **Ϝε 'Ϝίδ'*] *ἴδεν* mss.

161] del. PKnight. ‖ *πως* G F X n] *πω* P H M. ‖ *ἐναργὲς* Fick] *ἐναργεῖς* mss.; vid. § 73 et ad *Υ* 131.

ἀλλ' Ὀδυσεύς τε κύνες τ' ἔϝιδον καί ῥ' οὐχ ὑλάοντο,
κνυζηθμῷ δ' ἑτέρωσε διὰ σταθμοῖ' ἐφόβηθεν.
ἣ δ' ἄρ' ἐπ' ὀφρύσ' ἔνευσε· 'νόησε δὲ δῖος Ὀδυσσεύς, 164b = *E* 669
ἐκ δ' ἦλθεν μεγάροιο παρ' ἐκ μέγα τειχίον αὐλῆς, 165 cf. 343
'στῆ δὲ πάροιθ' αὐτῆς. τὸν δὲ προσέϝειπεν Ἀθήνη·
„διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
ἤδη νῦν σῷ παιδὶ ϝέπος φάο μηδ' ἐπίκευθε, 168 cf. σ 171
ὥς κε μνηστῆρσιν θάνατον καὶ κῆρ' ἀραρόντε 169 sq.a cf. ω 153 sq.
ἔρχησθον προτὶ ϝάστυ περικλυτόν. οὐδ' ἐγὼ αὐτὴ
δϝηρὸν ἀπὸ σφῶιν ἔσομαι μεμαυῖα μάχεσθαι."
ἦ, καὶ χρυσείῃ ῥάβδῳ ἐπεμάσσατ' Ἀθήνη· 172b = ν 429
φᾶρος μέν ϝοι πρῶτον ἐυπλυνὲς ἠδὲ χιτῶνα 173 cf. ϑ 392
'θῆκ' ἀμφὶ στήθεσφι, δέμας δ' ὤφελλε καὶ ἥβην·
ἂψ δὲ μελαγχροιὴς 'γένετο, γναθμοὶ δ' ἐτάνυσθεν,
κυάνεαι δ' ἐγένοντο γενειάδες ἀμφὶ γένειον.
ἣ μὲν ἄρ' ὣς ϝέρξασα πάλιν 'κίεν· αὐτὰρ Ὀδυσσεὺς
ἤιεν εἰς κλισίην. 'θάμβησε δέ μιν φίλος υἱὸς,
ταρβήσας δ' ἑτέρωσε 'βάλ' ὄμματα, μὴ θεὸς εἴη,
καί μιν φωνήσας ϝέπεα πτερόεντα προσηύδα·
„ἀλλοῖός μοι, ξεῖνε, 'φάνης νέον ἠὲ πάροιθε,
ἄλλα δὲ ϝείματ' ἔχεις καί τοι χρὼς οὐκέθ' ὁμοῖος·
ἦ μάλα τις θεός ἐσσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσι. 183 cf. ζ 150

---

162 *ὑλάοντο*] medium †; Naber *ὕλαόν μιν*, APlatt *καί ϝ' οὐχ ὑλάοντο* coll. *π* 5.

163 *κνυζηθμῷ*] †; cf. Aristoph. Vesp. 977. || *ἑτέρωσε*] *-θεν* P M U; cf. vs. 179. || *διὰ*] *ἀπὸ* U. || *σταθμοῖ' ἐφόβηθεν*] *-μοῖο φόβ.* mss.; cf. § 59.

164 *ὀφρύσ' ἔνευσε*] *-σι νεῦσε* mss.

165 *πὰρ' ἐκ*] *παρὰ* H². || *τειχίον*] nonnisi vs. 343 redit; l. a. *θριγκίον* (cf. *η* 87).

167 *διογενὲς*] cf. § 21.

169 *κε* § 326] *ἂν* mss.

172 *ῥάβδῳ*] *ῥάβδῳ ϝ'* APlatt.

174 *στήθεσφι*] *στήθεσσι* M X D mss. alia; vid. ad *M* 401.

175 sq.] del. Duentzer.

175 *μελαγχροιὴς*] *coloratus* (*gebruind*), †, cf. *μελανόχρως* *N* 589, *μελάγχρως* *τ* 246. De re vid. *ν* 399.

176 *κυάνεαι*] vid. ad *A* 528 *ζ* 231 *ν* 399. || *γενειάδες*] *ἐθειράδες* G U et l. a. apud Eust., quam teste Didymo (in schol. Theocrit. I 34) reiciebat Aristoteles (an *Aristarchus*? sic Lehrs, sed dubitat Ludwich Arist. I p. 615), *ἐθείρας* enim (*ἐθειράδες* nusquam alibi legitur) esse *crines* in capitis vertice crescentes. Adde quod *equorum* sunt (*Θ* 42 *N* 24 *Π* 795 *T* 382 *X* 315), non *hominum*; hoc tamen argumentum minus firmum est, vid. h. Ven. 229 Bacch. 4 (Aesch. Pers. 1062 etc.) et *λόφος* de cervice humana adhibitum *K* 573 (et *κ* 169). Vox *γενειάδες* †, cf. *γένειον* *Θ* 371 etc., *ἠυγένειος* *O* 275 etc., *γενειάω* *σ* 176, 269 Theocr. II 78. Plurali *γενείων* utitur Herodas Mim. III 73 (l. a. *γενείου*).

179 *ταρβήσας*] *θαμβήσας* G P (non recte). || *ἑτέρωσε*] *-θεν* P; cf. vs. 163.

181 *ἠὲ*] *ἢ τὸ* n et Iulian. 309 *d* (cf. *α* 322 *β* 312 etc.), *ἠδὲ* Hartman probabiliter: *alius mihi visus es et modo* (cf. vs. 199) *et antea*.

'πῖνε καὶ ἦσθ', ὅτε θυμὸς ἐνὶ στήθεσσιν ἀνώγοι·
αὐτὰρ νῦν, ἐξ οὗ σύ γ' ἀπῴχεο νηὶ Πύλονδε, 142ᵇ cf. 24
οὔ πώ μιν φασὶν φαγέμεν καὶ πιέμεν' αὔτως
οὐδ' ἐπὶ Ϝέργα Ϝιδεῖν, ἀλλὰ στοναχῇ τε γόῳ τε
ἧσται ὀδυρόμενος, φθινύθει δ' ἀμφ' ὀστεόφι χρώς.“ 145ᵇ cf. μ 45
τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
„ἄλγιον· ἀλλ' ἔμπης μιν ἐάσομεν ἀχνύμενοί περ. 147ᵇ = Σ 112
εἰ γάρ πως εἴη αὐτάγρετα πάντα βροτοῖσι,
πρῶτόν κεν τοῦ πατρὸς ἑλοίμεθα νόστιμον ἦμαρ.
ἀλλὰ σύ γ' ἀγγείλας ὀπίσω κίε, μηδὲ κατ' ἀγροὺς
πλάζεσθαι μετὰ κεῖνον· ἀτὰρ πρὸς μητέρα Ϝειπεῖν
ἀμφίπολον ταμίην ὀτρυνέμεν' ὅττι τάχιστα
κρύβδην· κείνη γάρ κεν ἀπαγγείλειε γέροντι.“
ἦ ῥα καὶ ὦρσε συφορβόν· ὃ δ' εἵλετο χερσὶ πέδιλα,
δησάμενος δ' ὑπὸ ποσσὶ πόλινδ' ἴεν.

οὐδ' ἄρ' Ἀθήνην
'λῆθεν ἀπὸ σταθμοῖο κιὼν Ἐύμαιος ὑφορβός·
ἀλλ' ἥ γε σχεδὸν ἦλθε, δέμας δ' ἐϜέϜικτο γυναικὶ 157ᵇ sq. = ν 288 sq.
καλῇ τε μεγάλῃ τε καὶ ἀγλαὰ Ϝέργα Ϝιδυίῃ.
στῆ δὲ κατ' ἀντίθυρον κλισίης Ὀδυσῆι φανεῖσα·
οὐδ' ἄρα Τηλέμαχός Ϝε 'Ϝίδ' ἀντίον οὐδ' ἐνόησε, —
οὐ γάρ πως πάντεσσι θεοὶ φαίνονται ἐναργές, — 161 cf. Υ 131

152 sq. Ar. —

142 σύ γ' ἀπῴχεο Barnes] σύ γ' ἐπῴχεο G, σύ γε ᾤχεο mss. cett. hiatu vitioso; an *ἐξ οἷο σύ γ' ᾤχεο? sed οἷο forma in Hom. non extat. Nauck οὗ τε σύ γ' ᾤχεο.

143 φαγέμεν] cf. § 126. || πιέμεν'] suspecta hic et σ 3 est syllaba πι- producta; vid. Η 481 Π 825. Barnes πινέμεν, sed requiritur aoristus. || αὔτως] *αὖτις? l. a. ἔμπης.

144 Ϝιδεῖν] τραπέσθαι P (τρ. ἀτὰρ?).

145 ἧσται ὀδυρόμενος] ἧσται (sic) ὀδυρόμενον P, ἧσθαι ὀδυρόμενον F. || φθινύθει] μινύθει n (cf. δ 374, 467 μ 46).

147 ἄλγιον] cf. δ 292. || μιν] μὲν mss. complura. || ἀχνύμενοι] -νον F l n et l. a. apud Eust.; vid. κ 174 et ad Χ 416 σ 178.

148 αὐτάγρετα] redit h. Merc. 474, 489. cf. ἀγρετός Α 526.

149 κεν τοῦ] *πρῶτά κεν αὐτοῦ?

151 μετὰ κεῖνον § 97] μετ' ἐκεῖνον mss. || μητέρα] l. a. μρσ' (i. e. μητρὸς, leg. μητέρος?).

152 sq.] damnarunt veteres, nullum enim eventum haec habuisse.

157 ἐϜέϜικτο § 160] ἤικτο mss.

158 Ϝέργα Ϝιδυίῃ § 160] ἔργ' εἰδυίῃ mss.

159 κατ'] παρ' Apoll. lex. || ἀντίθυρον] †, cf. πρόθυρον passim, ὑπερθύριον η 90. Ante ianuam (extra domum, vid. vs. 165 sq.) constitit dea, soli Ulixi conspicua.

160 sq.] de re vid. Α 197 sq.

160 οὐδ' ἄρα] οὐ γὰρ P. || *Ϝε 'Ϝίδ'] ἴδεν mss.

161] del. PKnight. || πως G F X n] πω P H M. || ἐναργὲς Fick] ἐναργεῖς mss.; vid. § 73 et ad Υ 131.

ἀλλ' Ὀδυσεύς τε κύνες τ' ἔϝιδον καί ῥ' οὐχ ὑλάοντο,
κνυζηθμῷ δ' ἑτέρωσε διὰ σταθμοῖ' ἐφόβηθεν.
ἣ δ' ἄρ' ἐπ' ὀφρύσ' ἔνευσε· 'νόησε δὲ δῖος Ὀδυσσεύς, 164^{b} = *E* 669
ἐκ δ' ἦλθεν μεγάροιο παρ' ἐκ μέγα τειχίον αὐλῆς, 165 cf. 343
'στῆ δὲ πάροιθ' αὐτῆς. τὸν δὲ προσέϝειπεν Ἀθήνη·
„διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
ἤδη νῦν σῷ παιδὶ ϝέπος φάο μηδ' ἐπίκευθε, 168 cf. σ 171
ὥς κε μνηστῆρσιν θάνατον καὶ κῆρ' ἀραρόντε 169 sq.[a] cf. ω 153 sq.
ἔρχησθον προτὶ ϝάστυ περικλυτόν. οὐδ' ἐγὼ αὐτὴ
δϝηρὸν ἀπὸ σφῶιν ἔσομαι μεμαυῖα μάχεσθαι."
ἦ, καὶ χρυσείῃ ῥάβδῳ ἐπεμάσσατ' Ἀθήνη· 172^{b} = ν 429
φᾶρος μέν ϝοι πρῶτον ἐυπλυνὲς ἠδὲ χιτῶνα 173 cf. ϑ 392
'θῆκ' ἀμφὶ στήθεσφι, δέμας δ' ὤφελλε καὶ ἥβην·
ἂψ δὲ μελαγχροιὴς 'γένετο, γναθμοὶ δ' ἐτάνυσθεν,
κυάνεαι δ' ἐγένοντο γενειάδες ἀμφὶ γένειον.
ἣ μὲν ἄρ' ὣς ϝέρξασα πάλιν 'κίεν· αὐτὰρ Ὀδυσσεὺς
ἤιεν εἰς κλισίην. 'θάμβησε δέ μιν φίλος υἱός,
ταρβήσας δ' ἑτέρωσε 'βάλ' ὄμματα, μὴ θεὸς εἴη,
καί μιν φωνήσας ϝέπεα πτερόεντα προσηύδα·
„ἀλλοῖός μοι, ξεῖνε, 'φάνης νέον ἠὲ πάροιθε,
ἄλλα δὲ ϝείματ' ἔχεις καί τοι χρὼς οὐκέθ' ὁμοῖος·
ἦ μάλα τις θεός ἐσσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσι. 183 cf. ζ 150

---

162 ὑλάοντο] medium †; Naber ὕλαόν μιν, APlatt καί ϝ' οὐχ ὑλάοντο coll. π 5.

163 κνυζηθμῷ] †; cf. Aristoph. Vesp. 977. || ἑτέρωσε] -θεν P M U; cf. vs. 179. || διὰ] ἀπὸ U. || σταθμοῖ' ἐφόβηθεν] -μοῖο φόβ. mss.; cf. § 59.

164 ὀφρύσ' ἔνευσε] -σι νεῦσε mss.

165 πὰρ' ἐκ] παρὰ H². || τειχίον] nonnisi vs. 343 redit; l. a. θριγκίον (cf. η 87).

167 διογενὲς] cf. § 21.

169 κε § 326] ἂν mss.

172 ῥάβδῳ] ῥάβδῳ ϝ' APlatt.

174 στήθεσφι] στήθεσσι M X D mss. alia; vid. ad *M* 401.

175 sq.] del. Duentzer.

175 μελαγχροιὴς] *coloratus* (*gebruind*), †, cf. μελανόχρως *N* 589, μελάγχρως τ 246. De re vid. ν 399.

176 κυάνεαι] vid. ad *A* 528 ζ 231 ν 399. || γενειάδες] ἐθειράδες G U et l. a. apud Eust., quam teste Didymo (in schol. Theocrit. I 34) reiciebat Aristoteles (an *Aristarchus*? sic Lehrs, sed dubitat Ludwich Arist. I p. 615), ἐθείρας enim (ἐθειράδες nusquam alibi legitur) esse *crines* in capitis vertice crescentes. Adde quod *equorum* sunt (*Θ* 42 *N* 24 *Π* 795 *T* 382 *X* 315), non *hominum*; hoc tamen argumentum minus firmum est, vid. h. Ven. 229 Bacch. 4 (Aesch. Pers. 1062 etc.) et λόφος de cervice humana adhibitum *K* 573 (et κ 169). Vox γενειάδες †, cf. γένειον *Θ* 371 etc., ἠυγένειος *O* 275 etc., γενειάω σ 176, 269 Theocr. II 78. Plurali γενείων utitur Herodas Mim. III 73 (l. a. γενείου).

179 ταρβήσας] θαμβήσας G P (non recte). || ἑτέρωσε] -θεν P; cf. vs. 163.

181 ἠὲ] ἦ τὸ n et Iulian. 309 *d* (cf. α 322 β 312 etc.), ἠδὲ Hartman probabiliter: *alius mihi visus es et modo* (cf. vs. 199) *et antea*.

χαλκόν τε χρυσόν τε Ϝάλις Ϝεσθῆτά θ' ὑφαντήν. 231 = ν 136
καὶ τὰ μὲν ἐν σπεέεσσι θεῶν ἰότητι κέονται·
νῦν αὖ δεῦρ' ἱκόμην ὑποθημοσύνῃσιν Ἀθήνης, 233ᵇ = Ο 412
ὄφρα κε δυσμενέεσσι φόνου πέρι βουλεύσωμεν.
ἀλλ' ἄγε μοι μνηστῆρας ἀριθμήσας κατάλεξον,
ὄφρ' εἴδω ὅσσοι τε καὶ οἵ τινες ἀνέρες εἰσί·
καί κεν ἐμὸν κατὰ θυμὸν ἀμύμονα μερμηρίξας 237 cf. κ 50
φράσσομαι, ἤ κεν νῶι δυνησόμεθ' ἀντιφέρεσθαι
μούνω ἄνευθ' ἄλλων, ἦ καὶ διζησόμεθ' ἄλλους."
τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
„ὦ πάτερ, ἦ τοι σεῖο μέγα κλέος αἰὲν ἄκουον,
χεῖράς τ' αἰχμητὴν ἔμεναι καὶ ἐπίφρονα βουλήν·
ἀλλὰ λίην μέγ' ἔϜειπες· ἄγη μ' ἔχει· οὐδέ κεν εἴη 243 cf. γ 227
ἄνδρε δύω πολλοῖσι καὶ ἰφθίμοισι μάχεσθαι.
μνηστήρων δ' οὔτ' ἂρ δεκὰς ἀτρεκὲς οὔτε δύ' οἶαι,
246 ἀλλὰ πολὺ πλέονες· τάχα Ϝείσεαι αὐτὸς ἐπελθών. 246ᵇ = ω 506
254 τῶν εἴ κεν πάντων ἀντήσομεν ἔνδον ἐόντων,

247 ἐκ μὲν Δουλιχίοιο δύω καὶ πεντήκοντα
κοῦροι κεκριμένοι, Ϝὲξ δὲ δρηστῆρες ἕπονται·
ἐκ δὲ Σάμης πίσυρες καὶ ἐϜείκοσι φῶτες ἔασι,
ἐκ δὲ Ζακύνθου ἔασιν ἐϜείκοσι κοῦροι Ἀχαιῶν,
ἐκ δ' αὐτῆς Ἰθάκης δύο καὶ δέκα πάντες ἄριστοι. 251ᵇ cf. Κ 560
καί σφιν ἅμ' ἐστὶ Μέδων κῆρυξ καὶ θεῖος ἀοιδὸς
καὶ δοιὼ θεράποντε δαήμονε δαιτροσυνάων.

239 Dionysius — || 247 et 249-251 in M obelos habent (Ar. —?)

232 σπεέεσσι § 71] σπείεσσι mss. || κέονται] § 169.

233 αὖ] δ' αὖ P H². || ὑποθημοσύνῃσιν] vid. ad Ο 412.

234 βουλεύσωμεν] vid. ad Α 158.

236] del. Fick, vs. 237 ὄφρα κ' ἐμὸν scribens. || εἴδω § 160] εἰδέω (ἰδέω G P, οἱ ἰδέω H²) mss.; neglectum est Ϝ; *ὄφρ' ἐὺ Ϝείδω ὅσσοι? Apud Nauckium proponitur ὡς (Ϝ)ειδέω. || ἀνέρες εἰσί] *ἄνδρες ἔασι? cf. vs. 249 sq.

238 ἤ H] αἴ U, εἴ mss. pleraque. Cf. § 327.

241 ἦ τοι] οὕτω F.

242 βουλήν] βουλῆ (sic) n; Bothe βουλῆς.

243 μέγ' ἔϜειπες] μέγα εἶπες (vel -πας) mss. || ἄγη] vid. Φ 221.

244 ἰφθίμοισι μάχεσθαι] -μω μαχέσασθαι Hartman.

246 πλέονες] πλεῖον M, quod e πλείους (vid. ω 464 et § 85) videtur esse corruptum. || Ϝείσεαι Bentley] δ' εἴσεαι mss.; cf. β 40. || αὐτὸς ἐπελθών G] αὐτὸς ἀριθμόν P, ἐνθάδ' ἀριθμόν mss. cett.

247-251] delevimus (Aristarchum? secuti). Post αὐτός vel ἐνθάδε (i. e. *ipse mox in aedibus tuis oculis videbis*) molesta est accurata recensio procorum.

248 δρηστῆρες] vid. ad ο 330.

249 Σάμης] vid. ad α 246. || πίσυρες] vid. ad Ο 680. || καί Bentley] τε καί mss. || ἐϜείκοσι Bekker] εἴκοσι mss. || ἔασι] l. a. Ἀχαιῶν.

250 κοῦροι] φῶτες G M X mss. alia. || Ἀχαιῶν] om. G.

252 sq.] del. Hartman.

252 θεῖος] δῖος Nauck.

253 δαιτροσυνάων] †, cf. δαιτρὸν Δ 262, δαιτρός α 141 etc., δαιτρεύω Δ 688 etc.

ἀνδρὶ νέῳ καὶ καλὰ περὶ χροΐ ϝείματ' ἔχοντι.
ῥηΐδιον δὲ θεοῖσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσι,
ἠμὲν κυδῆναι θνητὸν βροτὸν ἠδὲ κακῶσαι."
ὣς ὅ γε φωνήσας κατ' ἄρ' ἕζετο· Τηλέμαχος δὲ
ἀμφιχυθεὶς πατέρ' ἐσθλὸν ὀδύρετο δάκρυα λείβων.
ἀμφοτέροισι δὲ τοῖσιν ὑφ' ἵμερος ὦρτο γόοιο. 215 cf. Ψ 108
κλαῖον δὲ λιγέως, ἀδινώτερον ἤ τ' οἰωνοί, 216ª = κ 201
φῆναι ἢ αἰγυπιοὶ γαμψώνυχες, οἷσί τε τέκνα
ἀγρόται ἐξείλοντο πάρος πετεηνὰ γενέσθαι·
ὣς ἄρα τοί γ' ἐλεεινὸν ὑπ' ὀφρύσι δάκρυον εἶβον. 219 cf. ϑ 531
καί νύ κ' ὀδυρομένοισιν ἔδυ φάος ἠελίοιο, 219ᵇ cf. δ 153 220 = Ψ 154
εἰ μὴ Τηλέμαχος προσεφώνεε ϝὸν πατέρ' αἶψα· 221 cf. τ 35
„ποίῃ τ' ἄρ νῦν δεῦρο, πάτερ φίλε, νηΐ σε ναῦται
ἤγαγον εἰς Ἰθάκην; τίνες ἔμμεναι ηὐχετάοντο; 223 sq. = α 172 sq.
οὐ μὲν γάρ τί σε πεζὸν ὀίομαι ἐνθάδ' ἱκέσθαι."
τὸν δ' αὖτε προσέϝειπε πολύτλας δῖος Ὀδυσσεύς·
„τοιγὰρ ἐγώ τοι, τέκνον, ἀληθείην καταλέξω. 226 = χ 420 cf. ρ 108
Φαίηκές μ' ἄγαγον ναυσίκλυτοι, οἵ τε καὶ ἄλλους
ἀνθρώπους πέμπουσιν, ὅ τις σφέας εἰσαφίκηται· 228 = υ 188 cf. μ 40
καί μ' εὕδοντ' ἐν νηὶ θοῇ ἐπὶ πόντον ἄγοντες 229 sq. cf. ν 134 sq.
κάτθεσαν ἐν Ἰθάκῃ, ἔπορον δέ μοι ἀγλαὰ δῶρα,

210 ἔχοντι] ἔχοντα Fick.
211 sq.] del. Duentzer.
212 κυδῆναι] vid. ad *E* 448. || θνητὸν βροτὸν] vid. ad γ 3.
213 ὅ γε vHerwerden] ἄρα mss.
214 ἀμφιχυθεὶς] sic Ar. (alii olim ἀμφιβαλὼν?).
216-239] pro his huiusmodi aliquid poscit Kammer: αὐτὰρ ἐπεὶ τάρπησαν ὀιζυροῖο γόοιο | Τηλέμαχον πρότερος προσέφη πολύμητις Ὀδυσσεύς· | „Τηλέμαχ', οὐ γάρ πω πάντων ἐπὶ πείρατ' ἀέθλων | ἤλθομεν, ἀλλ' ἔτ' ὄπισθεν ἀμέτρητος πόνος ἔσται, | πολλὸς καὶ χαλεπός, τὸν νῶ χρὴ πάντα τελέσσαι· | πρῶτον γὰρ μνηστῆρσι κακὸν φόνον ἀρτύνωμεν, damnat autem vs. 245-257 et (cum PKnightio) vs. 278-298. Duentzer del. vs. 233-239, 245-255, 281-298. Vid. infra ad vs. 281-298.
216 ἀδινώτερον] vid. ad Σ 124. || ἤ τ'] ἠύτ' F (cf. Δ 277 Apoll. Rh. I 269), ἤ περ Eust.; ἢ proponitur apud Nauckium.
217 φῆναι] cf. γ 372. || ἢ] insolite corripitur; vid. § 16. || αἰγυπιοί] vid. ad *H* 59.
217 sq. οἷσί — γενέσθαι] cf. Verg. Georg. IV 512 sq.
218 ἀγρόται] †, cf. ἀγροιῶται Λ 549, 676 *O* 272 λ 293 φ 85; ἀγρέται (i. e. αἱρέται *venatores*) vWilamowitz (ut Toup Aesch. Pers. 1002).
219] del. Fick. || δάκρυον εἶβον] δάκρυα λεῖβον P.
221 αἶψα] *ἐσθλόν? item τ 35. Particula αἶψα sententiam aperire solet; vid. tamen τ 389.
222 τ' ἄρ Bekker] γὰρ mss.; cf. Σ 182.
223 ηὐχετάοντο § 191] εὐχετόωντο (-νται) mss.
224] om. G U.
226] om. U.
228 ὅ τις F P H^1 M n^2] ὅ τι vel ὅστις mss. complura, ὅ τε LaRoche. Cf. *T* 265.
230 ἐν Ἰθάκῃ § 315] εἰν Ἰθάκῃ G, εἰς Ἰθάκην mss. cetera. Vid. ν 135.

χαλκόν τε χρυσόν τε ϝάλις ϝεσθῆτά θ' ὑφαντήν. 231 = ν 136
καὶ τὰ μὲν ἐν σπεέεσσι θεῶν ἰότητι κέονται·
νῦν αὖ δεῦρ' ἱκόμην ὑποθημοσύνῃσιν Ἀθήνης, 233ᵇ = Ο 412
ὄφρα κε δυσμενέεσσι φόνου πέρι βουλεύσωμεν.
ἀλλ' ἄγε μοι μνηστῆρας ἀριθμήσας κατάλεξον,
ὄφρ' εἴδω ὅσσοι τε καὶ οἵ τινες ἀνέρες εἰσί·
καί κεν ἐμὸν κατὰ θυμὸν ἀμύμονα μερμηρίξας 237 cf. κ 50
φράσσομαι, ἤ κεν νῶι δυνησόμεθ' ἀντιφέρεσθαι
μούνω ἄνευθ' ἄλλων, ἦ καὶ διζησόμεθ' ἄλλους."
τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
„ὦ πάτερ, ἦ τοι σεῖο μέγα κλέος αἰὲν ἄκουον,
χεῖράς τ' αἰχμητὴν ἔμεναι καὶ ἐπίφρονα βουλήν·
ἀλλὰ λίην μέγ' ἔϝειπες· ἄγη μ' ἔχει· οὐδέ κεν εἴη 243 cf. γ 227
ἄνδρε δύω πολλοῖσι καὶ ἰφθίμοισι μάχεσθαι.
μνηστήρων δ' οὔτ' ἂρ δεκὰς ἀτρεκὲς οὔτε δύ' οἶαι,
246 ἀλλὰ πολὺ πλέονες· τάχα ϝείσεαι αὐτὸς ἐπελθών. 246ᵇ = ω 506
254 τῶν εἴ κεν πάντων ἀντήσομεν ἔνδον ἐόντων,

247 ἐκ μὲν Δουλιχίοιο δύω καὶ πεντήκοντα
κοῦροι κεκριμένοι, ϝὲξ δὲ δρηστῆρες ἕπονται·
ἐκ δὲ Σάμης πίσυρες καὶ ἐϝείκοσι φῶτες ἔασι,
ἐκ δὲ Ζακύνθου ἔασιν ἐϝείκοσι κοῦροι Ἀχαιῶν,
ἐκ δ' αὐτῆς Ἰθάκης δύο καὶ δέκα πάντες ἄριστοι. 251ᵇ cf. Κ 560
καί σφιν ἅμ' ἐστὶ Μέδων κῆρυξ καὶ θεῖος ἀοιδὸς
καὶ δοιὼ θεράποντε δαήμονε δαιτροσυνάων.

239 Dionysius —— ‖ 247 et 249-251 in M obelos habent (Ar. ——?)

232 σπεέεσσι § 71] σπείεσσι mss. ‖ κέονται] § 169.
233 αὖ] δ' αὖ P H². ‖ ὑποθημοσύνῃσιν] vid. ad Ο 412.
234 βουλεύσωμεν] vid. ad Δ 158.
236] del. Fick, vs. 237 ὄφρα κ' ἐμὸν scribens. ‖ εἴδω § 160] εἰδέω (ἰδέω G P, οἱ ἰδέω H²) mss.; neglectum est ϝ; *ὄφρ' ἐὺ ϝείδω ὅσοι? Apud Nauckium proponitur ὡς (ϝ)ειδέω. ‖ ἀνέρες εἰσί] *ἄνδρες ἔασι? cf. vs. 249 sq.
238 ἤ H] αἴ U, εἴ mss. pleraque. Cf. § 327.
241 ἦ τοι] οὕτω F.
242 βουλήν] βουλῇ (sic) n; Bothe βουλῆς.
243 μέγ' ἔϝειπες] μέγα εἶπες (vel -πας) mss. ‖ ἄγη] vid. Φ 221.
244 ἰφθίμοισι μάχεσθαι] -μω μαχέσασθαι Hartman.
246 πλέονες] πλεῖον M, quod e πλείους (vid. ω 464 et § 85) videtur esse corruptum. ‖ ϝείσεαι Bentley] δ' εἴσεαι mss.; cf. β 40. ‖ αὐτὸς ἐπελθών G] αὐτὸς ἀριθμόν P, ἐνθάδ' ἀριθμόν mss. cett.
247-251] delevimus (Aristarchum? secuti). Post αὐτός vel ἐνθάδε (i. e. *ipse mox in aedibus tuis oculis videbis*) molesta est accurata recensio procorum.
248 δρηστῆρες] vid. ad ο 330.
249 Σάμης] vid. ad α 246. ‖ πίσυρες] vid. ad Ο 680. ‖ καὶ Bentley] τε καὶ mss. ‖ ἐϝείκοσι Bekker] εἴκοσι mss. ‖ ἔασι] l. s. Ἀχαιῶν.
250 κοῦροι] φῶτες G M X mss. alia. ‖ Ἀχαιῶν] om. G.
252 sq.] del. Hartman.
252 θεῖος] δῖος Nauck.
253 δαιτροσυνάων] †, cf. δαιτρὸν Δ 262, δαιτρός α 141 etc., δαιτρεύω Λ 688 etc.

μὴ πολύπικρα καὶ αἰνὰ βίας ἀποτίσεαι ἐλθών. 255ᵇ = λ 118
ἀλλὰ σύ γ', εἰ δύνασαί τιν' ἀμύντορα μερμηρίξαι,
φράζε', ὅ κέν τις νῶιν ἀμύνοι πρόφρονι θυμῷ."
τὸν δ' αὖτε προσέϝειπε πολύτλας δῖος Ὀδυσσεύς·
„τοιγὰρ ἐγὼ ϝερέω, σὺ δὲ σύνθεο καί με' ἄκουσον 259 cf. Z 334
καὶ φράσαι, ἥ κεν νῶιν Ἀθήνη σὺν Διὶ πατρὶ
ἀρκέσῃ, ἠέ τιν' ἄλλον ἀμύντορα μερμηρίξω."
τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
„ἐσθλώ τοι τούτω γε ἀμύντορε, τοὺς ἀγορεύεις,
ὕψι περ ἐν νεφέεσσι καθημένω· ὥ τε καὶ ἄλλως
ἀνδράσι τε κρατέουσι καὶ ἀθανάτοισι θεοῖσι."
τὸν δ' αὖτε προσέϝειπε πολύτλας δῖος Ὀδυσσεύς·
„οὐ μέν τοι κείνω γε πολὺν χρόνον ἀμφὶς ἔσεσθον
φυλόπιδος κρατερῆς, ὁπότε μνηστῆρσι καὶ ἧμιν
ἐν μεγάροισιν ἐμοῖσι μένος κρίνηται Ἄρηος.
ἀλλὰ σὺ μὲν νῦν ἔρχε' ἅμ' ἠόι φαινομένηφι 270ᵇ = I 682
ϝοίκαδε καὶ μνηστῆρσιν ὑπερφιάλοισιν ὁμίλει· 271 cf. σ 167
αὐτὰρ ἐμὲ προτὶ ϝάστυ συβώτης ὕστερον ἄξει
πτωχῷ λευγαλέῳ ἐναλίγκιον ἠδὲ γέροντι. 273 = ρ 202 ω 157 cf. ρ 337
εἰ δέ μ' ἀτιμάσσουσι δόμον κάτα, σὸν δὲ φίλον κῆρ
τετλάτω ἐν στήθεσσι κακῶς πάσχοντος ἐμεῖο,
εἴ περ καὶ διὰ δῶμα ποδῶν ἕλκωσι θύραζε
ἢ βέλεσιν βάλλωσι· σὺ δ' εἰσοράων ἀνέχεσθαι.
ἀλλ' ἦ τοι παύεσθαι ἀνωγέμεν' ἀφροσυνάων,
μειλιχίοισι ϝέπεσσι παραυδῶν· οἳ δέ τοι οὔ τι

255 *πολύπικρα*] comp. †, vix sanum; **τάχα πικρὰ*?
257 *φράζε'* H²] *φράζευ* mss. cetera; cf. § 117. PKnight *φράζεο, ὅς κεν νῶιν*.
259 *με'* § 92] *μευ* mss.
260 *ἥ* § 327] *εἴ* mss.
263 *γε ἀμύντορε* criticus apud Nauckium] *γ' ἀμύντορε* P, *γ' ἐπ' ἀμύντορε* vel *γ' ἐπαμύντορε* mss. cetera. Comp. *ἐπαμύντωρ* non redit, sed vid. l. a. N 384 O 540 et ad γ 422.
264 *ὥ*] *οἵ* X U² mss. alia. ‖ *ἄλλως* Fick] *ἄλλοις* mss.; cf. § 60.
265 *ἀνδράσι … θεοῖσι*] de dat. vid. ad λ 485.
267 *ἀμφὶς*] cf. § 316.
269 *μένος κρίνηται Ἄρηος*] locutio †, cf. tamen B 385 Σ 209 ω 507.
270 *ἔρχε'* schol. V] *ἔρχευ* (-*χου* G²) mss.; cf. § 117. ‖ *ἠόι* § 77] *ἠοῖ* mss.
273 *ἐναλίγκιον*] *ἐπιείκελον* X D Z k. ‖ *ἠδὲ*] *ἠὲ* P H mss. alia.
274 *εἰ*] *οἱ* G F D. ‖ *ἀτιμά(σ)σουσι* L W q] -*μήσουσι* mss. cett.
275 *κακῶς πασχόντος*] adverbium verbo *πάσχειν* additum †; expectatur *κακά περ πάσχοντος*.
276 *εἴ* § 326] *ἤν* mss.
277 *εἰσοράων* § 191] -*ρόων* mss.
278-280] iure (cum sequentibus) delere videtur PKnight (vid. ad vs. 216-239).
278 *παύεσθαι*] *παύσασθ'(αι)* G X D U² k.
279 *μειλιχίοισι ϝέπεσσι*] -*οις ἐπέεσσι* mss. ‖ *παραυδῶν*] *παρασταδὸν* P (ut κ 173, 547 μ 207,

ἧμας πειράζειν, ἀλλ' ὕστερα ταῦτα πένεσθαι,
εἰ ἐτεόν γέ τι Ϝοῖσθα Διὸς τέρας αἰγιόχοιο." 320ᵇ = Ε 742

ὣς οἳ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον.
ἣ δ' ἄρ' ἔπειτ' Ἰθάκηνδε κατήγετο νηῦς ἐυϜεργής,
ἣ 'φέρε Τηλέμαχον Πυλόθεν καὶ πάντας ἑταίρους.
οἳ δ' ὅτε δὴ λιμένος πολυβενθέος ἐντὸς ἵκοντο, 324 cf. Α 432
νῆα μὲν οἵ γε μέλαιναν ἐπ' ἠπείροι' ἐϜέρυσσαν, 325 = Α 485 cf. π 359
τεύχεα δέ σφ' ἀπένεικαν ὑπέρθυμοι θεράποντες, 326 = 360 cf. δ 784
αὐτίκα δ' εἰς Κλυτίοιο 'φέρον περικαλλέα δῶρα.
αὐτὰρ κήρυκα πρόεσαν δόμον εἰς Ὀδυσῆος
ἀγγελίην Ϝερέοντα περίφρονι Πηνελοπείῃ, 329 = ο 41
οὕνεκα „Τηλέμαχος μὲν ἐπ' ἀγροῦ, νῆα δ' ἀνώγει
Ϝάστυδ' ἀποπλείειν", ἵνα μὴ δϜείσασ' ἐνὶ θυμῷ
ἰφθίμη βασίλεια τέρεν κατὰ δάκρυον εἴβοι. 332ᵇ cf. Π 11
τὼ δὲ συνηντήτην κῆρυξ καὶ δῖος ὑφορβὸς
τῆς αὐτῆς ἕνεκ' ἀγγελίης, Ϝερέοντε γυναικί.
ἀλλ' ὅτε δή ῥ' ἵκοντο δόμον θείου βασιλῆος, 335ᵃ = Γ 264
κῆρυξ μέν ῥα μέσῃσι μετὰ δμῳῇσιν ἔϜειπε·
„ἤδη τοι, βασίλεια, φίλος πάις ἐκ Πύλου ἦλθε."
Πηνελοπείῃ δ' ἄγχι παραστὰς 'Ϝεῖπε συβώτης
πάνθ', ὅσα Ϝοι φίλος υἱὸς ἄνωγεν μυθήσασθαι.
αὐτὰρ ἐπεὶ δὴ πᾶσαν ἐφημοσύνην ἀπέϜειπε,
'βῆ ῥ' ἴμεναι μεθ' ὕας, 'λίπε δ' ἕρκεά τε μέγαρόν τε. 341 = ρ 604
μνηστῆρες δ' ἀκάχοντο κατήφησάν τ' ἐνὶ θυμῷ,

---

319 ἧμας § 92] ἡμέας mss.

322-451 et **457-477**] diasceuastae tribuit Kirchhoff; Kammer del. vs. 322-337.

322 'Ιθάκηνδε] urbs intelligenda; cf. Ϝάστυδ' vs. 331. || κατήγετο] κατείγετο P (ἐπείγετο? cf. ν 115).

325 ἠπείροι' ἐϜέρυσσαν] -ροιο ἔρυσσαν mss.; cf. § 59.

326 sq.] suspecti vocantur apud Nauckium; unum vs. 326 del. Nitzsch (ad δ 784).

326 τεύχεα] vid. ad δ 784.

329 Ϝερέοντα] vid. κ 245 et ad ν 94.

330-332] del. PKnight.

330 ἀγροῦ] ἀγρόο? cf. § 59. || νῆα δ' ἀνώγει] νόσφι πόληος G errore memoriae (cf. vs. 383). || ἀνώγει] praesens, cf. § 225; ἄνωγεν P.

331 Ϝάστυδ' ἀποπλείειν] Ϝάστυ ποτιπλείειν P H[1] M mss. alia.

332 εἴβοι] εἴβῃ G[2] F H[2] X n mss. alia, εἴβει G[1] k.

333 συνηντήτην] συναντήτην mss.; de termino -ήτην cf. § 195.

335 βασιλῆος] Ὀδυσῆος G et olim alii.

337 ἐκ Πύλου ἦλθε P H M X n] εἰλήλουθε G F.

338-341] del. PKnight.

338 *ἄγχι παραστὰς 'Ϝεῖπε συβώτης] εἶπε συβώτης ἄγχι παραστὰς mss., Nauck ἄγχι συβώτης εἶπε παραστάς.

339 ἄνωγεν § 225] ἀνώγει mss.

341 ἕρκεα] vid. § 41.

342 κατήφησαν] *pudore perfundebantur*. Ver-

ἄλλο δέ τοι Ϝερέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσι· 299 = Δ 297
εἰ ἐτεόν γ' ἐμός ἐσσι καὶ αἵματος ἡμετέροιο,
μή τις ἔπειτ' Ὀδυσῆος ἀκουσάτω ἔνδον ἐόντος.
μήτ' οὖν Λαέρτης Ϝίστω τό γε μήτε συβώτης
μήτε τις οἰκήων μήτ' αὐτὴ Πηνελόπεια,
ἀλλ' οἶοι σύ τ' ἐγώ τε γυναικῶν γνώομεν ἰθύν.
καί κέ τεο δμώων ἀνδρῶν ἔτι πειρηθεῖμεν,
ἠμὲν ὅ τις ποθὶ νῶι τίει καὶ δέδϜιε θυμῷ,
ἠδ' ὅ τις οὐκ ἀλέγει, σὲ δ' ἀτίζει τοῖον ἐόντα."
τὸν δ' ἀπαμειβόμενος προσεφώνεε φαίδιμος υἱός·
„ὦ πάτερ, ἦ τοι ἐμὸν θυμὸν καὶ ἔπειτά γ', ὀίω,
γνώσεαι· οὐ μὲν γάρ τι χαλιφροσύναι γέ μ' ἔχουσι·
ἀλλ' οὔ τοι τόδε κέρδος ἐγὼν ἔσσεσθαι ὀίω
ἧμίν γ' ἀμφοτέροισι· σὲ δὲ φράζεσθαι ἄνωγα. 312ᵇ = α 269
δϜηθὰ γὰρ αὔτως εἶσθα Ϝεκάστου πειρητίζων,
Ϝέργα μετερχόμενος· τοὶ δ' ἐν μεγάροισι Ϝέκηλοι
χρήματα δαρδάπτουσιν ὑπέρβιον, οὐδ' ἔπι φειδώ. 315 = ξ 92
ἀλλ' ἦ τοί σε γυναῖκας ἐγὼ δεδαέσθαι ἄνωγα,
αἵ τέ σ' ἀτιμάζουσι καὶ αἳ νηλείτιδές εἰσι· 317 = τ 498 cf. [χ 418
ἀνδρῶν δ' οὔ κεν ἐγώ γε κατὰ σταθμοὺς ἐθέλοιμι

---

300 *καὶ αἵματος ἡμετέροιο*] *ἐμοὶ δέ σε γείνατο μήτηρ* l. a. et Dion. Halic. de Hom. poesi § 18 Plut. vit. Hom. 149.

301] vid. ad Δ 410.

302 sq.] postea, fortasse a diasceuasta, insertos esse putat Kirchhoff.

303 *οἰκήων*] neglecto Ϝ.

304-320] del. Lehrs, vs. 304-307 et 311-320 PKnight, vs. 311-315 Fick.

304 *ἰθύν*] sic Ar. De vocis significatione vid. Ζ 79.

305 *κέ τεο δμώων*] inepte *κ' ἐτεοδμώων* Ptolemaeus Ascal., item Hesych. s. v. (cf. *ἐτεόκρητες* τ 176). || *πειρηθεῖμεν*] *-θῶμεν* F X mss. alia, male, cf. § 122.

306 *ὅ τις ποθὶ* (*που*, cf. § 322) Hartman] *ὅπου* (*ὅπως* F X U² n mss. alia) *τις* mss.; *ὅ πού τις* Thiersch. Cf. vs. 307.

307 *ἀτίζει* vHerwerden] *ἀτιμᾷ* mss.; cf. φ 99 ψ 28 et § 165 de verbo *τιμᾶν* — *τίειν*.

310 *χαλιφροσύναι*] †, vid. ad δ 371. || *γέ μ'*] *μέ γ'* (*μετ-*) F H M mss. alia.

311 *τόδε*] *τό γε* n, *γε τὸ* M.

312 **ἧμίν γ'*] *ἡμῖν* mss.; an **ἥμισιν*? Cf. § 92 et 93.

313 *εἶσθα* Bekker] *εἴσῃ* mss.; vid Κ 450 τ 69 υ 179 et § 308. || *Ϝεκάστου*] *-οο*? cf. § 59.

314 *Ϝέργα μετερχόμενος*] *opera rustica perlustrans.*

315 *χρήματα*] *κτήματα* U. || *οὐδ' ἔπι*] *οὐδέ τι* vel *οὐδ' ἔτι* H M n mss. alia.

316 *δεδαέσθαι*] *δεδάασθαι* mss.; cf. Δ 831 et vid. § 191 et 203.

317] spurius? in marg. habent G D, om. Z k. || *νηλ(ε)ίτιδες* Ar. (cf. Lehrs Arist.² p. 151 sq.)] *νηλιτέες* J, *νηλιτεῖς* (*νηλητεῖς*, *νειλιτεῖς*) mss. cett. metro invito (vid. § 2); Lobeck *νηλίτιες*. Vox e negativo *νη-* et stirpe verbi *ἀλιτέσθαι* composita valet *insontes*; non recte Ar. interpretabatur *valde scelestas*. Redit τ 498 χ 418, cf. *ἀλείτης* Γ 28 υ 121, *ἀλιτρός* Θ 361 Ψ 595 ε 182, *ἀλιτήμων* Ω 157, 186.

318 *οὐ κεν* § 326] *οὐκ ἂν* mss.

ἧμας πειράζειν, ἀλλ' ὕστερα ταῦτα πένεσθαι,
εἰ ἐτεόν γέ τι Ϝοῖσθα Διὸς τέρας αἰγιόχοιο." 320b = Ε 742

ὣς οἳ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον.
ἡ δ' ἄρ' ἔπειτ' Ἰθάκηνδε κατήγετο νηῦς ἐυϜεργής,
ἣ 'φέρε Τηλέμαχον Πυλόθεν καὶ πάντας ἑταίρους.
οἳ δ' ὅτε δὴ λιμένος πολυβενθέος ἐντὸς ἵκοντο, 324 cf. Α 432
νῆα μὲν οἵ γε μέλαιναν ἐπ' ἠπείροι' ἐϜέρυσσαν, 325 = Α 485 cf. π 359
τεύχεα δέ σφ' ἀπένεικαν ὑπέρθυμοι θεράποντες, 326 = 360 cf. δ 784
αὐτίκα δ' εἰς Κλυτίοιο 'φέρον περικαλλέα δῶρα.
αὐτὰρ κήρυκα πρόεσαν δόμον εἰς Ὀδυσῆος
ἀγγελίην Ϝερέοντα περίφρονι Πηνελοπείῃ, 329 = ο 41
οὕνεκα „Τηλέμαχος μὲν ἐπ' ἀγροῦ, νῆα δ' ἀνώγει
Ϝάστυδ' ἀποπλείειν", ἵνα μὴ δϜείσασ' ἐνὶ θυμῷ
ἰφθίμη βασίλεια τέρεν κατὰ δάκρυον εἴβοι. 332b cf. Π 11
τὼ δὲ συνηντήτην κῆρυξ καὶ δῖος ὑφορβὸς
τῆς αὐτῆς ἕνεκ' ἀγγελίης, Ϝερέοντε γυναικί.
ἀλλ' ὅτε δή ῥ' ἵκοντο δόμον θείου βασιλῆος, 335a = Γ 264
κῆρυξ μέν ῥα μέσῃσι μετὰ δμῳῇσιν ἔϜειπε·
„ἤδη τοι, βασίλεια, φίλος πάις ἐκ Πύλου ἦλθε."
Πηνελοπείῃ δ' ἄγχι παραστὰς 'Ϝεῖπε συβώτης
πάνθ', ὅσα Ϝοι φίλος υἱὸς ἄνωγεν μυθήσασθαι.
αὐτὰρ ἐπεὶ δὴ πᾶσαν ἐφημοσύνην ἀπέϜειπε,
'βῆ ῥ' ἴμεναι μεθ' ὕας, 'λίπε δ' ἕρκεά τε μέγαρόν τε. 341 = ρ 604
μνηστῆρες δ' ἀκάχοντο κατήφησάν τ' ἐνὶ θυμῷ,

319 ἧμας § 92] ἡμέας mss.
322-451 et **457-477**] diasceuastae tribuit Kirchhoff; Kammer del. vs. 322-337.
322 'Ἰθάκηνδε] urbs intelligenda; cf. Ϝάστυδ' vs. 331. || κατήγετο] κατείγετο P (ἐπείγετο? cf. ν 115).
325 ἠπείροι' ἐϜέρυσσαν] -ροιο ἔρυσσαν mss.; cf. § 59.
326 sq.] suspecti vocantur apud Nauckium; unum vs. 326 del. Nitzsch (ad δ 784).
326 τεύχεα] vid. ad δ 784.
329 Ϝερέοντα] vid. κ 245 et ad ν 94.
330-332] del. PKnight.
330 ἀγροῦ] ἀγρόο? cf. § 59. || νῆα δ' ἀνώγει] νόσφι πόληος G errore memoriae (cf. vs. 383). || ἀνώγει] praesens, cf. § 225; ἄνωγεν P.
331 Ϝάστυδ' ἀποπλείειν] Ϝάστυ ποτιπλείειν P H[1] M mss. alia.
332 εἴβοι] εἴβῃ G[2] F H[2] X n mss. alia, εἴβει G[1] k.
333 συνηντήτην] συναντήτην mss.; de termino -ήτην cf. § 195.
335 βασιλῆος] Ὀδυσῆος G et olim alii.
337 ἐκ Πύλου ἦλθε P H M X n] εἰλήλουθε G F.
338-341] del. PKnight.
338 *ἄγχι παραστὰς 'Ϝεῖπε συβώτης] εἶπε συβώτης ἄγχι παραστὰς mss., Nauck ἄγχι συβώτης εἶπε παραστάς.
339 ἄνωγεν § 225] ἀνώγει mss.
341 ἕρκεα] vid. § 41.
342 κατήφησαν] *pudore perfundebantur*. Ver-

ἐκ δ' ἦλθον μεγάροιο παρ' ἐκ μέγα τειχίον αὐλῆς, 343 cf. 165
αὐτόθι δὲ προπάροιθε θυράων ἠδριάοντο. 344ª = Υ 441
τοῖσιν δ' Εὐρύμαχος Πολύβου πάις ἦρχ' ἀγορεύειν·
„ὦ φίλοι, ἦ μέγα ϝέργον ὑπερφιάλως τετέλεσται 346 cf. δ 663
Τηλεμάχῳ ὁδὸς ἥδε· 'φάμεν δέ ϝοι οὐ τελέεσθαι. 347 = δ 664
ἀλλ' ἄγε νῆα μέλαιναν ἐρύσσομεν, ἥ τις ἀρίστη, 348 sq. cf. Α 141 sq.
εἰς δ' ἐρέτας ἁλιῆας ἀγείρομεν, οἵ κε τάχιστα
κείνοισ' ἀγγείλωσι θοῶς ϝοῖκόνδε νέεσθαι."
οὔ πω πᾶν 'ϝέϝρηθ', ὅτ' ἄρ' Ἀμφίνομος 'ϝίδε νῆα, 351ª cf. Κ 540
στρεφθεὶς ἐκ χώρης, λιμένος πολυβενθέος ἐντός, 352ᵇ = κ 125
ἱστία τε στέλλοντας ἐρετμά τε χερσὶν ἔχοντας.
ϝηδὺ δ' ἄρ' ἐκγελάσας μετεφώνεε ϝοῖσ' ἑτάροισι· 354 cf. σ 35
„μή τιν' ἔτ' ἀγγελίην ὀτρύνομεν· οἵδε γὰρ ἔνδον.
ἤ τίς σφιν τόδ' ἔϝειπε θεῶν ἢ' εἴσϝιδον αὐτοὶ
νῆα παρερχομένην, τὴν δ' οὐκ ἐδύναντο κιχῆναι."
ὣς ἔφαθ', οἱ δ' ἀνστάντες ἔβαν ἐπὶ θῖνα θαλάσσης·
αἶψα δὲ νῆα μέλαιναν ἐπ' ἠπείροι' ἐϝέρυσσαν, 359 cf. 325
τεύχεα δέ σφ' ἀπένεικαν ὑπέρθυμοι θεράποντες. 360 = 326
αὐτοὶ δ' εἰς ἀγορὴν 'κίον ἀθρόοι, οὐδέ τιν' ἄλλον 361ª = ω 420
εἴαον οὔτε νέων μεταϊζέμεν' οὔτε γερόντων.
τοῖσιν δ' Ἀντίνοος μετέφη, Εὐπείθεος υἱός·
„ὢ πόποι, ὡς τόνδ' ἄνδρα θεοὶ κακότητος ἔλυσαν. 364ᵇ = ε 397
ἤματα μὲν σκοποὶ ἶζον ἐπ' ἄκριας ἠνεμοέσσας
αἰὲν ἐπασσύτεροι· ἅμα δ' ἠελίῳ καταδύντι 366ᵇ = Α 592

bum Χ 293 redit, cf. κατηφής ω 432 (et Ω 253?), κατηφείη Γ 51 Π 498 Ρ 556. || τ'] δ' mss. pleraque.

343 τειχίον] cf. vs. 165.

344 αὐτόθι § 322] ἀγχοῦ G F, αὐτοῦ mss. cett. || ἠδριάοντο § 191] ἑδριόωντο mss.

345 ἦρχ' ἀγορεύειν] ἀντίον ηὔδα U.

346 φίλοι] πόποι criticus apud Nauckium coll. δ 663. || τετέλεσται P H M] ἐτελέσθη G F n.

348 ἐρύσσομεν] neglecto ϝ; vid. ad θ 34. || ἥ τις ἀρίστη] εἰς ἅλα δῖαν G (cf. θ 34).

349 ἁλιῆας] vox *piscatores* μ 251 χ 384 suo loco legitur; hic *nautae* indicari videntur, de ω 419 dubitamus. Hartman coll. Α 142 coniecit ἐπιτηδές, glossema ἅλις cum voce genuina coaluisse suspicatus.

351 'ϝέϝρηθ' § 306] εἴρηθ' mss. || ἄρ'] om. F P H M, εἴρητο καὶ Eust.; εἴρητο ὅτ' Ahrens, at vid. vs. parall.

354 ἐκγελάσας] ἐπ' ἐγγελάσας G. || μετεφώνεε] l. a. προσεφώνεεν.

355 ὀτρύνομεν] *ὀτρυνέμεν'?

357 κιχῆναι] κιχῆσαι F X^2.

359 ἠπείροι' ἐϝέρυσσαν] -ροιο (-ροι P) ἔρυσσαν mss.; cf. § 59.

360 τεύχεα] vid. ad δ 784.

361 ἄλλον] ἄλλων U^2.

362 εἴαον § 191] εἴων mss. || μεταϊζέμεν' § 125] μεταΐζειν mss. Comp. †; si sana est lectio, litterae initialis radicis σεδ- apparet vestigium. An *ἵζειν μετὰ?

365-375] del. Duentzer.

365 ἶζον] *ἥμεθ'? propter vs. 366 sq. expectatur 1ª pers. plur.

οὔ ποτ' ἐπ' ἠπείρου νύκτ' ἄσαμεν, ἀλλ' ἐνὶ πόντῳ
νηὶ θοῇ πλείοντες ἐμίμνομεν Ἠόα δῖαν,
Τηλέμαχον λοχάοντες, ἵνα φθίσαιμεν ἑλόντες
αὐτόθι· τὸν δ' ἄρα τῆος ἀπήγαγε Ϝοίκαδε δαίμων.
ἧμες δ' ἐνθάδε Ϝοι φραζώμεθα λυγρὸν ὄλεθρον
Τηλεμάχῳ, μηδ' ἧμας ὑπεκφύγοι· οὐ γὰρ ὀίω
τούτου γε ζώοντος ἀνύσσεσθαι τάδε Ϝέργα. 373ᵃ cf. Α 89
αὐτὸς μὲν γὰρ ἐπιστήμων βουλῇ τε νόῳ τε, 374ᵇ = μ 211
λαοὶ δ' οὐκέτι πάμπαν ἐφ' ἧμιν Ϝῆρα φέρουσι.
ἀλλ' ἄγετε, πρὶν κεῖνον ὁμηγυρίσασθαι Ἀχαιοὺς 376ᵃ cf. ω 430
εἰς ἀγορήν· οὐ γάρ τι μεθησέμεναί μιν ὀίω,
ἀλλ' ἀπομηνίσει, Ϝερέει δ' ἐν πᾶσιν ἀναστάς,
οὕνεκά Ϝοι φόνον αἰπὺν ἐράπτομεν οὐδ' ἐκίχημεν·
οἳ δ' οὐκ αἰνέσσουσιν ἀκούοντες κακὰ Ϝέργα.
μή τι κακὸν ῥέξωσι καὶ ἡμέας ἐξελάσωσι
γαίης ἡμετέρης, ἄλλων δ' ἀφικώμεθα δῆμον.
ἀλλ' εἰ φθαῖμεν ἑλόντες ἐπ' ἀγροῦ νόσφι πόληος 383ᵇ = α 185
ἢ ἐν ὁδῷ, βίοτόν κ' αὐτοὶ καὶ κτήματ' ἔχοιμεν
δασσάμενοι κατὰ μοῖραν ἐφ' ἡμέας, οἰκία δ' αὖτε 385 sq. cf β 335 sq.
κείνου μητέρι δοῖμεν ἔχειν ἠδ' ὅς τις ὀπυίοι.
εἰ δ' ὑμῖν ὅδε μῦθος ἀφανδάνει, ἀλλὰ βόλεσθε

---

367 ἄσαμεν] forma insolita, cf. § 174; ἀέσσαμεν vel ἴσσαμεν (ἴσαμεν) mss. nonnulla: *ἠπείροιο ἀέσσαμεν? PKnight ἄεμεν (imperf.).

368 ἐμίμνομεν] ἐμείναμεν G. || Ἠόα § 77] Ἠῶ mss.

369 λοχάοντες § 191] λοχόωντες mss. || φθίσαιμεν GHermann] φθίσωμεν mss.

370 αὐτόθι (αὐτοῦ, cf. § 322) Bekker] αὐτόν mss.; cf. § 98 et π 463 ρ 327. Nauck αὐτίκα. || τῆος § 323] τέως μὲν vel τέως mss. || ἀπήγαγε] *ἀνήγαγε? cf. Ο 29, 706 et ad κ 274. Versus ο 436 alia est ratio.

371 ἧμες § 92] ἡμεῖς mss.

372-392] del. PKnight.

372 ἧμας Apoll. Pronom. 100,2,17] ἡμᾶς mss. pleraque metro invito; cf. § 92 et Ε 567. Male Ahrens ἄμμε.

374 ἐπιστήμων] †, cf. ἐπιστάμενος (Β 611 etc.) et ad φ 406.

375 ἐφ' ... Ϝῆρα φέρουσι] vid. ad Α 572.

376 ὁμηγυρίσασθαι] †, cf. ὁμήγυρις Υ 142 h. Ap. 187 Merc. 332 Cer. 485, ἀγυρίς γ 31 (ubi videatur) etc., ὁμηγερέες Α 57 etc.

378 ἀπομηνίσει] -σειν Bothe. De verbo vid. ad Β 772.

379 φόνον ... ἐράπτομεν] vid. ad Σ 367. || ἐράπτομεν] cf. γ 118 et § 132.

380 αἰνέσσουσιν § 295] αἰνήσουσιν mss.

382 ἄλλων] ἄλλον H X mss. alia; cf. ο 228.

383 sq. *ἀλλ' εἰ φθαῖμεν ..., βίοτόν κ' ... ἔχοιμεν] ἀλλὰ φθέωμεν (φθείομεν F[1]) ..., βίοτον δ' ... ἔχωμεν (ἔχοιμεν l) mss. vitiose, optativus enim requiritur propter vs. 386; praeterea novicia est forma φθέωμεν (cf. § 122). Versu 386 quominus subiunctivum scribamus obstat versus parallelus; novicia autem foret forma δῶμεν pro δώομεν (cf. Ψ 537 ϑ 389 ν 13 et § 122).

383 ἀγροῦ] ἀγρόο? cf. § 59.

385 μοῖραν] l. a. δῆμον. || οἰκία] neglecto Ϝ; quominus scribatur ἧμας, Ϝοικία obstat metrum (vid. § 24).

387-392] del. Duentzer.

387 ὑμῖν] novicium pro ὕμιν, cf. § 92. ||

αὐτόν τε ζώειν καὶ ἔχειν πατρώια πάντα,
μή Ϝοι χρήματ' ἔπειτα Ϝάλις θυμήρε' ἔδωμεν
ἐνθάδ' ἀγειρόμενοι, ἀλλ' ἐκ μεγάροιο Ϝέκαστος
μνάσθω ἐϜέδνοισιν διζήμενος· ἡ δέ κ' ἔπειτα — 391 sq. = φ 161 sq.
γήμαιθ' ὅς κε πλεῖστα πόρῃ καὶ μόρσιμος ἔλθῃ."
ὣς ἔφαθ'· οἳ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ. — 393 = Γ 95
τοῖσιν δ' Ἀμφίνομος ἀγορήσατο καὶ μετέϜειπε, — 394 sq. = σ 412 sq.
Νίσου φαίδιμος υἱὸς Ἀρητιάδαο Ϝάνακτος,
ὅς ῥ' ἐκ Δουλιχίου πολυπύρου ποιήεντος
ἡγέετο μνηστῆρσι, μάλιστα δὲ Πηνελοπείῃ
'Ϝάνδανε μύθοισι· φρεσὶ γὰρ 'κέχρητ' ἀγαθῇσι. — 398^b = γ 266
ὅ σφιν ἐὺ φρονέων ἀγορήσατο καὶ μετέϜειπε·
„ὦ φίλοι, οὔ κεν ἐγώ γε κατακτείνειν ἐθέλοιμι
Τηλέμαχον. δϜεινὸν δὲ γένος βασιλήιόν ἐστι
κτεινέμεν'· ἀλλὰ πρῶτα θεῶν εἰρώμεθα βουλάς.
εἰ μέν κ' αἰνέσσωσι Διὸς μεγάλοιο θέμιστες,
αὐτός τε κτενέω τούς τ' ἄλλους πάντας ἀνώξω· — 404 cf. Ω 156
εἰ δέ κ' ἀποτροπάωσι θεοί, παύσασθαι ἄνωγα."
ὣς ἔφατ' Ἀμφίνομος, τοῖσιν δ' ἐπεϜάνδανε μῦθος. — 406 = υ 247 cf. [ν 16
αὐτίκ' ἔπειτ' ἀνστάντες ἔβαν δόμον εἰς Ὀδυσῆος, — 407 = δ 674
ἐλθόντες δὲ καθῖζον ἐπὶ ξεστοῖσι θρόνοισι. — 408 = ϑ 6
ἡ δ' αὖτ' ἄλλ' ἐνόησε περίφρων Πηνελόπεια,

ἀφανδάνει] comp. †, cf. ἐπιϜανδάνω Η 407 etc.; neglectum est Ϝ, vHerwerden ὔμιν μῦθος ἀποϜανδάνει, Nauck ὅδε μῦθος ἀπεύαδε (ἀπέϜϜαδε). ‖ βόλεσθε G^1 U^2] βούλεσθε mss. cetera metro invito; forma suspecta, vid. § 259 et ad Α 319.

388 τε] γε D Z k; particula non suo loco est collocata; *αὐτὸν ζωέμεναι?

389 θυμήρε' Bekker] θυμήδε' vel θυμηδέ' mss. (neglecto Ϝ), quod adi. apud Hom. non redit. Vid. ad κ 362.

391 δέ κ'] δ' ἂν G F U n Eust.; cf. § 326.

392 κε] τις G P^2 H^2 U n. ‖ πόρῃ ... ἔλθῃ LaRoche] πόροι ... ἔλθοι mss.; cf. β 54 φ 162.

396 πολυπύρου] -ροο? cf. § 59.

397 ἡγέετο § 191] ἡγεῖτο mss.

398 'Ϝάνδανε] ἥνδανε mss.

400 οὔ κεν § 326] οὐκ ἂν mss.

401 δϜεινὸν] χαλεπὸν G. ‖ βασιλήιον] adi. †, cf. Ζ 193.

402 κτεινέμεν' § 125] κτείνειν mss. (κτεῖναι G).

403 αἰνέσσωσι § 295] αἰνήσωσι (-σουσι) mss. ‖ θέμιστες] *consilia* (βουλὴν ξ 328). Absurde olim τομοῦροι quidam apud Strabonem VII p. 328 (τόμουραι Eust.), in vulgata vocem θέμιστες de *vaticiniis* parum apte adhibitam esse contendentes, *tomuros* autem (vel *tomuras*) prophetarum Dodonaeorum fuisse nomen; vid. Eust. 1058,1, 1760,45, 1806,37,46.

404 τε] *Ϝε? IHVoss θ' ἑ. ‖ ἀνώξω] fut. †, cf. § 225; ἀνάξω P O.

405 ἀποτροπάωσι § 191 et 251] -τροπόωσι M, -τροπῶσι G^1 P, -τρωπῶσι mss. pleraque, -τρεπέῃσι θεὸς Strab. VII p. 328.

406 ἐπεϜάνδανε] ἐπιήνδανε mss.

408 θρόνοισι] λίθοισι(ν) G P H mss. alia (cf. γ 406 ϑ 6).

409-451] del. Duentzer.

μνηστήρεσσι φανήμεν' ὑπέρβιον ὕβριν ἔχουσι. 410 cf. α 368
'πεύθετο γὰρ Ϝοῦ παιδὸς ἐνὶ μεγάροισιν ὄλεθρον·
κῆρυξ γάρ Ϝοι ἔϜειπε Μέδων, ὃς ἐπεύθετο βουλάς. 412 = δ 677
'βῆ δ' ἴμεναι μέγαρόνδε σὺν ἀμφιπόλοισι γυναιξί.
ἀλλ' ὅτε δὴ μνηστῆρας ἀφίκετο δῖα γυναικῶν, 414 cf. α 332
'στῆ ῥα παρὰ σταθμὸν τέγεος πύκα ποιητοῖο 415 sq. = α 333 sq.
ἄντα παρειάων σχομένη λιπαρὰ κρήδεμνα,
Ἀντίνοον δ' ἐνένιπε Ϝέπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζε· 417 cf. Ο 552
„Ἀντίνο' ὕβριν ἔχων, κακομήχανε, καὶ δέ σε φασὶ
ἐν δήμῳ 'Ιθάκης καθ' ὁμήλικας ἔμμεν' ἄριστον
βουλῇ καὶ μύθοισι· σὺ δ' οὐκ ἄρα τοῖος ἔησθα.
μάργε, τίη δὲ σὺ Τηλεμάχῳ θάνατόν τε μόρον τε
422ª 423ᵇ ῥάπτεις; οὐδ' ὁσίη κακὰ ῥαπτέμεν' ἀλλήλοισι.
ἦ οὐ Ϝοῖσθ' ὅτε δεῦρο πατὴρ τεὸς ἵκετο φεύγων,
δῆμον ὑποδϜείσας; δὴ γὰρ 'κεχολώατο λίην, 425ᵇ = ξ 282
οὕνεκα ληιστῆρσιν ἐφεσπόμενος Ταφίοισι
ἤκαχε Θεσπρωτούς· οἳ δ' ἥμισιν ἄρθμιοι ἦσαν.
τόν ῥ' ἔθελον φθῖσαι καὶ ἀπορραῖσαι φίλον ἦτορ
ἠδὲ κατὰ ζωὴν φαγέμεν μενοϜεικέα πολλήν·
ἀλλ' Ὀδυσεὺς κατέρυκε καὶ ἔσχεθε Ϝιεμένους περ. 430 cf. δ 284
τοῦ νῦν Ϝοῖκον ἄτιμον ἔδεις, μνάεαι δὲ γυναῖκα

422ᵇ οὐδ' ἱκέτας ἐμπάζεαι, οἷσιν ἄρα Ζεὺς
μάρτυρος;

410 φανήμεν' § 125] φανῆναι mss. || ὑπέρβιον ὕβριν ἔχουσι] ἀπεχθομένοισί περ ἔμπης D U² Z k (cf. σ 165).

412] del. criticus apud Nauckium. || In X mss. aliis subiungitur αὐλῆς ἐκτὸς ἐών· οἳ δ' ἔνδοθι μῆτιν ὕφαινον (= δ 678).

413 ἴμεναι U¹] ἰέναι mss. cetera; cf. § 125.

414 ἀλλ'] ἤδ' X mss. alia. || μνηστῆρας] -ρσιν X mss. alia.

419 *καθ'] μεθ' mss.; vid. ad Β 143. || ἔμμεν'] εἶναι M U mss. alia; cf. § 125.

420 ἔησθα] ἔεσθα? vid. § 302.

421 μάργε] adi. redit σ 2 ψ 11, cf. μαργαίνω Ε 882.

421 sq. θάνατον — ῥάπτεις] vid. ad Σ 367.

422 sq. οὐδ' — μάρτυρος;] del. Bekker. || ἱκέτας] perperam *eos qui supplicem receperunt* interpretantur scholia; cf. Ω 570. Notetur autem accusativus subiunctus verbo ἐμπάζομαι, quod ceteris locis adsciscit genitivum.

423 ὁσίη] ὅσιον X U² mss. alia; vox redit χ 412 h. Ap. 237 Merc. 130, 173, 470 Cer. 211, cf. Herod. II 45 et 171, Aristoph. Plut. 682 etc. || κακὰ ῥαπτέμεν'] vid. ad Σ 367. || ῥαπτέμεν' § 125] ῥάπτειν mss. || ἀλλήλοισι] *ἀλλοδαποῖσι? *Peregre* venisse dicitur Antinous vs. sq.; cf. γ 74 ρ 485 etc.

424 οὐ Ϝοῖσθ' ὅτε] *nonne scis* (*quid factum sit*) *cum* ...? Cf. Ο 18. || οὐ] οὐκ mss.

426 ἐφεσπόμενος § 247] ἐπισπ. mss.

427 ἥμισιν § 93] ἧμιν ἥμιν ἡμῖν mss.; an *ἧμιν δὲ τοί? || ἄρθμιοι] adi. †, vid. ad Η 302.

428 φθῖσαι] κτεῖναι M X mss. alia. || ἀπορραῖσαι] ἀπολέσαι F. Comp. nonnisi α 404 redit; hinc alienum iure ducit Hartman.

429 φαγέμεν P U n] φαγέειν mss. pleraque; cf. § 126.

431 μνάεαι § 117, 190, 191] μνάᾳ mss.

παῖδά τ' ἀποκτείνεις, ἐμὲ δὲ μεγάλως ἀκαχίζεις.
ἀλλά σε παύσασθαι κέλομαι καὶ ἀνωγέμεν' ἄλλους."
τὴν δ' αὖτ' Εὐρύμαχος Πολύβου πάις ἀντίον ηὖδα· 434 sq. = φ 320 [sq.
„κούρη Ϝικαρίοιο περίφρον Πηνελόπεια, 435 = σ 245, 285 cf. α 329
θάρσεε· μή τοι ταῦτα μετὰ φρεσὶ σῇσι μελόντων. 436 = Σ 463
οὐκ ἔσθ' οὗτος ἀνὴρ οὐδ' ἔσσεται οὐδὲ γένηται, 437 cf. ζ 201
ὅς κεν Τηλεμάχῳ τεῷ υἱέι χεῖρας ἐποίσῃ 438 cf. Λ 88
ζώοντός γ' ἐμέθεν καὶ ἐπὶ χθονὶ δερκομένοιο. 439 = Λ 89
ὧδε γὰρ ἐκϜερέω, καὶ μὴν τετελεσμένον ἔσται· 440 = Ψ 410
αἶψά Ϝοι αἷμα κελαινὸν ἐρωήσει περὶ δουρὶ 441 cf. Λ 303
ἡμετέρῳ, ἐπεὶ ἦ καὶ ἐμὲ πτολίπορθος Ὀδυσσεὺς
πολλάκι γούνασι Ϝοῖσιν ἐφεσσάμενος κρέας ὀπτὸν 443 sq. cf. Ι 488 sq.
ἐν χείρεσσιν ἔθηκεν, ἐπέσχε τε Ϝοῖνον ἐρυθρόν. 443 cf. Ι 455
τῷ μοι Τηλέμαχος πάντων πολὺ φίλτατός ἐστι
ἀνδρῶν, οὐδέ τί μιν θάνατον τρομέεσθαι ἄνωγα
ἔκ γε μνηστήρων· θεόθεν δ' οὐκ ἔστ' ἀλέασθαι." 447[b] cf. ι 411
ὣς 'φάτο θαρσύνων· τῷ δ' ἤρτυεν αὐτὸς ὄλεθρον.
ἣ μὲν ἄρ' εἰσαναβᾶσ' ὑπερώια σιγαλόεντα
'κλαῖεν ἔπειτ' Ὀδυσῆα φίλον πόσιν, ὄφρα Ϝοι ὕπνον 450 sq. = α 363 sq.
Ϝηδὺν ἐπὶ βλεφάροισι 'βάλε γλαυκῶπις Ἀθήνη.

Ϝεσπέριος δ' Ὀδυσῆι καὶ υἱέι δῖος ὑφορβὸς
ἤλυθεν· οἳ δ' ἄρα δόρπον ἐπισταδὸν ὡπλίζοντο,
σῦν ἱερεύσαντες ἐνιαύσιον. αὐτὰρ Ἀθήνη
ἄγχι παρισταμένη Λαερτιάδην Ὀδυσῆα 455 = ρ 361
ῥάβδῳ πεπληγυῖα πάλιν 'ποίησε γέροντα, 456[a] = κ 238
λυγρὰ δὲ Ϝείματ' ἔϜεσσε περὶ χροΐ, μή Ϝε συβώτης

432 δὲ] τε mss. multa. || μεγάλως vid. ad Ρ 723; τ' ἐκπάγλως U, quod verum videtur.
433 παύσασθαι] παύεσθαι G P H[1] M mss. alia; vid. Γ 434.
434 Πολύβου πάις] πεπνυμένος G M mss. alia (cf. α 213).
435 περίφρον] -φρων G[1] P mss. alia.
436 θάρσεε § 191] θάρσει mss.
437 οὐδ' ἔσσεται] διερὸς βροτὸς n (= ζ 201). Axt οὐδ' ἐσσόμενός γε γένηται, nos *οὐδ' ἐσσομένοισι γένηται.
438 κεν] κ' ἐπὶ G, κ' ἐνπὶ i. || *τεῷ] σῷ mss. vitio metrico; cf. § 14. Thiersch σῷ γ'. || ἐποίσῃ § 122] -σει mss.; de aoristi forma vid. Β 229 et § 152, et de ipsa locutione ad Λ 88.
440 ἐκϜερέω] ἐξερέω mss. || καὶ μὴν] Bekker τὸ δὲ καί.
441 ἐρωήσει] vid. vs. parall.
447] damnat criticus apud Nauckium. || θεόθεν] †.
449 εἰσαναβᾶσ'] ὡς ἀναβᾶσ' G[1].
453 ὡπλίζοντο] ὁπλ. Ar. H[1] M.
454 ἐνιαύσιον] †.
457-477] del. Kammer, vs. 457-459 criticus apud Nauckium.
457 Ϝείματ' ἔϜεσσε] εἵματα ἕσσε mss.

γνοίη ἐς ἄντα ϝιδὼν καὶ ἐχέφρονι Πηνελοπείῃ
ἔλθοι ἀπαγγελέων μηδὲ φρεσὶν εἰρύσσαιτο.
τὸν καὶ Τηλέμαχος πρότερος πρὸς μῦθον ἔϝειπε· 460 cf. *Ε* 632
„ἦλθες, δῖ' Ἐύμαιε; τί δὴ κλέος ἔστ' ἀνὰ ϝάστυ;
ἦ ῥ' ἤδη μνηστῆρες ἀγήνορες ἔνδον ἔασι
ἐκ λόχου, ἦ ἔτι μ' αὖθ' εἰρύαται ἔνδον ἐόντα;"
τὸν δ' ἀπαμειβόμενος προσέφης, Ἐύμαιε συβῶτα·
„οὐκ ἔμελέν μοι ταῦτα μεταλλῆσαι καὶ ἐρέσθαι
ϝάστυ κάτα βλώσκοντα· τάχιστά με θυμὸς ἄνωγε
ἀγγελίην ϝειπόντα πάλιν δεῦρ' ἀπονέεσθαι.
ὡμήρησε δέ μοι παρ' ἑταίρων ἄγγελος ὠκύς,
κήρυξ, ὃς δὴ πρῶτα ϝέπος σῇ μητέρ' ἔϝειπε.
ἄλλο δέ τοι τό γε ϝοῖδα, τὸ γὰρ 'ϝίδον ὀφθαλμοῖσι·
ἤδη ὑπὲρ πόλιος, ὅθι θ' Ἕρμαιος λόφος ἐστί,
ἦα κιών, ὅτε νῆα θοὴν 'ϝιδόμην κατιοῦσαν
εἰς λιμέν' ἡμέτερον· πολλοὶ δ' ἔσαν ἄνδρες ἐν αὐτῇ,
'πεφρίκει δὲ σάκεσσι καὶ ἔγχεσιν ἀμφιγύοισι·
καί σφεας ᾠίσθην τοὺς ἔμμεναι, οὐδέ τι ϝοῖδα."
ὣς 'φάτ'· ἐμείδησεν δ' ἱερὴ ϝὶς Τηλεμάχοιο
εἰς πατέρ' ὀφθαλμοῖσι ϝιδών, ἀλέεινε δ' ὑφορβόν. [*Δ* 467
οἳ δ' ἐπεὶ οὖν 'παύσαντο πόνου 'τετύκοντό τε δαῖτα, 478 = ω 384 cf.
'δαίνυντ', οὐδέ τι θυμὸς ἐδεύετο δαιτὸς ἐϝίσης. 479 sq. = *Δ* 468 sq.
αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον εἷντο,
κοίτου τ' ἐμνήσαντο καὶ ὕπνου δῶρον ἕλοντο. 481 cf *Η* 482

459 *ἀπαγγελέων* Naber] *ἀπαγγέλλων* mss. (P Y *ἐλθὼν ἀπαγγείλειε*, l *ἐλθὼν ἀγγείλοι*); cf. ν 94. || *εἰρύσσαιτο*] forma suspecta; cf. § 293.

460 *πρότερος — ἔϝειπε*] *πεπνυμένος ἀντίον ηὔδα* n.

461 *δῖ'* G P^2 U] *δὴ* mss. pleraque. Item ρ 508 φ 234 χ 157. || *κλέος*] vid. ad α 283.

463 *εἰρύαται*] neglecto ϝ; *ἦ μ' αὖθι ϝεϝρύαται? cf. § 293. Servatum tamen malis ἔτι. PKnight *αὖτε ῥύονται*. || *ἔνδον ἐόντα* n] *οἴκαδ' ἰόντα* mss. cett. neglecto ϝ.

466 *βλώσκοντα*] cf. § 285. || *ἄνωγε*] *ἀνώγει* G mss. alia; cf. § 225.

467 *ἀπονέεσθαι*] cf. § 21.

468-475] del. PKnight.

468 sq.] de re vid. vs. 333 sqq.

468 *ὡμήρησε*] †, *occurrit*. || *ὠκύς*] *ἐλθὼν* Harpocr. s. v. *ὁμηρεύσοντες*.

469 *πρῶτα* Bekker] *πρῶτος* mss.; vid. ξ 158 ρ 155, 573, 595 et ad δ 577. || *μητέρ'(ι)* X D, cf. § 13] *μητρὶ* mss. pleraque (non male, vid. § 15).

470 *τό γε* H] *τόδε* mss. pleraque.

471 *ἤδη*] vid. ad *Β* 699. || *θ'*] *δ'* F, om. mss. cett. || *λόφος*] vid. ad λ 596.

474 *'*πεφρίκει*] *βεβρίθει* mss.; cf. v. l. *Δ* 282 *Η* 62. Navis non *onusta est* armis sed *horret* hastis, quarum cuspides refulgentes eminus cernuntur (cf. Xenoph. Anab. I 8 § 8).

476 *'φάτ'· ἐμείδησεν*] *φάτο· μ.* mss.

478 *οἳ δ' ἐπεὶ οὖν*] *αὐτὰρ ἐπεὶ* Kammer, vid. ad vs. 457-477.

480 *εἷντο*] *ἕντο* mss.

481 *κοίτου τ' ἐμνήσαντο*] *δὴ τότε κοιμήσαντο* F Eust. et l. a. in P (cf. τ 427).

ΟΔΥΣΣΕΙΑΣ ρ.

Τηλεμάχου ἐπάνοδος εἰς Ἰθάκην.

ἦμος δ' ἠριγένεια 'φάνη ῥοδοδάκτυλος Ἠώς, 1 = Α 477
δὴ τότ' ἔπειθ' ὑπὸ ποσσὶν ἐδήσατο καλὰ πέδιλα 2 cf. Β 44 Ω 340
Τηλέμαχος φίλος υἱὸς Ὀδυσσῆος θείοιο, 3 = ο 63
εἵλετο δ' ἄλκιμον ἔγχος, ὅ Ϝοι παλάμηφιν ἀρήρει, 4 = Γ 338
Ϝάστυδε Ϝιέμενος, καὶ ἑϜὸν προσέϜειπε συβώτην·
„ἄττ', ἦ τοι μὲν ἐγὼν εἶμ' εἰς πόλιν, ὄφρα με μήτηρ
ὄψεται· οὐ γάρ μιν πρόσθεν παύσεσθαι ὀίω
κλαυθμοῦ τε στυγεροῖο γόοιό τε δακρυόεντος, 8 cf. δ 801
πρίν γ' αὐτόν με Ϝίδηται. ἀτὰρ σοί γ' ὧδ' ἐπιτέλλω·
τὸν ξεῖνον δύστηνον ἄγ' εἰς πόλιν, ὄφρα κε κεῖθι
δαῖτα πτωχεύῃ· δώσει δέ Ϝοι ὅς κ' ἐθέλῃσι 11 cf. 19
πυρνὸν καὶ κοτύλην· ἐμὲ δ' οὔ πως ἔστιν ἅπαντας 12ᵃ cf. ο 312ᵇ
ἀνθρώπους ἀνέχεσθαι ἔχοντά περ ἄλγεα θυμῷ.
ὃ ξεῖνος δ' εἴ περ μάλα μηνίει, ἄλγιον αὐτῷ
ἔσσεται· ἦ γὰρ ἐμοὶ φίλ' ἀληθέα μυθήσασθαι."
τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·

3] in marg. n subiungitur *εἵματα ἑσσάμενος περὶ δὲ ξίφος ὀξὺ θέτ' ὤμῳ* (= β 3).
5 *ἑϜὸν*] suspectum; Bothe *ἑὸν*.
6-9] ita contrahit Duentzer: *ἄττ', ἤτοι μὲν ἐγὼ νέομαι, σοὶ δ' ὧδ' ἐπιτέλλω.*
6 *ἄττ'*] *ἀλλ'* X mss. alia.
7 *ὄψεται*] de subiunctivi hac forma vid. § 152. ‖ *πρόσθεν*] *πρότερον* G.
9 *με Ϝίδηται*] *μ' ἐσίδηται* G F X mss. alia.
10 *τὸν ξεῖνον δύστηνον*] articulus molestus; Ar. conferebat *τὰ τεύχεα καλὰ* Φ 317. ‖ **ὄφρα κε κεῖθι*] *ὄφρ' ἂν ἐκεῖθι*, cf. § 97 et 326.
11 *Ϝοι*] *τοι* P H.
12-15] del. Duentzer; vs. 14 sq., qui vix possunt explicari, damnaverat PKnight.
12 *πυρνὸν καὶ κοτύλην*] vid. ad ο 312.
14 *ὃ*] om. G. Articulus molestus.
15 *ἦ — μυθήσασθαι*] verba hinc aliena ducit Hartman.

„ὦ φίλος, οὐδέ τοι αὐτὸς ἐρύκεσθαι μενεαίνω·
πτωχῷ βέλτερόν ἐστι κατὰ πτόλιν ἠὲ κατ' ἀγροὺς
δαῖτα πτωχεύειν· δώσει δέ μοι ὅς κ' ἐθέλῃσι. 19 cf. 11
οὐ γὰρ ἐπὶ σταθμοῖσι μένειν ἔτι τηλίκος εἰμί.
ἔρχεο· αὐτὰρ ἔμ' ἄξει ἀνὴρ ὅδε, τὸν σὺ κελεύεις,
αὐτίκ', ἐπεί κε πυρὸς θερέω ἀλέη τε γένηται.
αἰνῶς γὰρ τάδε Ϝείματ' ἔχω κακά· μή με δαμάσσῃ
στίβη ὑπηοΐη· Ϝέκαθεν δέ τε Ϝάστυ φάτ' εἶναι."
ὣς 'φάτο· Τηλέμαχος δὲ δι' ἐκ σταθμοῖ' ἐβεβήκει
κραιπνὰ ποσὶ προβιβάς, κακὰ δὲ μνηστῆρσ' ἐφύτευε. 27ª = Ν 18

αὐτὰρ ἐπεί ῥ' ἵκανε δόμους ἐὺ ναιετάοντας, 28 cf. Ζ 370
ἔγχος μέν ῥ' ἔστησε φέρων πρὸς κίονα μακρὴν, 29 = α 127
αὐτὸς δ' εἴσω ἴεν καὶ ὑπέρβη λάινον οὐδόν. 30 cf. π 41
τὸν δὲ πολὺ πρώτη ἔϜιδε τροφὸς Εὐρυκλέεια
κώεα καστορνῦσα θρόνοισ' ἔνι δαιδαλέοισι·
δακρύσασα δ' ἔπειτ' ἰθὺς 'κίεν, ἀμφὶ δ' ἄρ' ἄλλαι 33 cf. ψ 207
δμῳαὶ Ὀδυσσῆος ταλασίφρονος ἠγερέθοντο [224
καὶ 'κύνεόν Ϝ' ἀγαπαζόμεναι κεφαλήν τε καὶ ὤμους. 35 = χ 499 cf. φ
ἣ δ' ἴεν ἐκ θαλάμοιο περίφρων Πηνελόπεια 36 sq. = τ 53 sq.
Ἀρτέμιδι Ϝικέλῃ ἠὲ χρυσέῃ Ἀφροδίτῃ,

21 ὥς τ' ἐπιτειλαμένῳ σημάντορι πάντα πιθέσθαι.

17 *οὐδέ τοι αὐτὸς* G F H^2 X] *οὐδ' αὐτός τοι* mss. multa; cf. *Ν* 252 *Τ* 409.

18 sq.] del. Duentzer.

18 *βέλτερον*] *βέλτιον* F.

20-25] del. PKnight, solum vs. 21 Lehrs, quem vHerwerden servat *οὐδ'* scribens pro *ὥς τ'* (vid. ad *Ι* 42), Fick del. vs. 23-25.

20 *οὐ... μένειν ἔτι τηλίκος εἰμί*] *non iam ea aetate sum ut maneam*. Pronomini *τηλίκος* hoc uno loco subiungitur infinitivus, vid. ad *β* 60.

22 **ἔρχεο· αὐτὰρ ἔμ'*] *ἀλλ' ἔρχευ· ἐμὲ δ'* mss.; an **ἀλλ' ἴθι· αὐτὰρ ἔμ'*?

23 *θερέω*] aoristus † et insolite formatus; **θέρσωμ'(αι)*? vid. § 122 et 254. || *ἀλέη*] †, *calor solis*. Vid. ad *Χ* 301.

25 *στίβη*] vox nonnisi *ε* 467 redit. || *ὑπηοΐη*] *ἐπηοίη* editio „Cyclica'' (cf. Hes. Oper. 574). || *τε*] *τοι* F P.

26 *δι' ἐκ* G U] *διὰ* mss. cett. || *σταθμοῖ' ἐβεβήκει*] *σταθμοῖο* (*μεγάροιο* U; cf. vs. 61) *βεβήκει* mss.

27 *μνηστῆρσ' ἐφύτευε*] *-ρσι φ.* mss.

29 *ῥ' — μακρὴν* F P H] *στῆσε(ν) πρὸς κίονα μακρὸν ἐρείσας* G D U L W n mss. alia (cf. *θ* 66), Ar. utrumque?

31-166] diasceuastae tribuit Kirchhoff, inde a vs. 124 eum negligenter suo munere functum esse observans. Seeck vs. 26-182 a diasceuasta additos putat, Kammer del. vs. 52-56 et vs. 61-166, Duentzer vs. 91 (vel 96)-166.

31 *Εὐρυκλέεια* § 73] *-κλεια* mss.

32] del. Duentzer. || *καστορνῦσα*] *καστρω(ν)νῦσα* P X^1 U mss. alia; de syllaba *κα-* vid. § 10.

35 **Ϝ'*] adiecimus.

36 *ἣ δ' ἴεν ἐκ*] *βῆ δ' ἰέναι* F M^1.

37 *ἠὲ* G] *ἠδὲ* mss. pleraque. || *χρυσέῃ*] *χρυσῇ* mss. pleraque; cf. § 18 et 61.

ἀμφὶ δὲ παιδὶ φίλῳ ʼβάλε πήχεε δακρύσασα, 38ª = ω 347
ʼκύσσε δέ μιν κεφαλήν τε καὶ ἄμφω φάεα καλὰ 39 = π 15
καί Ϝʼ ὀλοφυρομένη Ϝέπεα πτερόεντα προσηύδα· 40 cf. π 22
„ἦλθες, Τηλέμαχε, γλυκερὸν φάος; οὔ σʼ ἔτʼ ἐγώ γε 41 sq. = π 23 sq.
ὄψεσθαι ἐφάμην, ἐπεὶ ᾤχεο νηὶ Πύλονδε
λάθρῃ, ἐμεῖʼ ἀϜέκητι, φίλου μετὰ πατρὸς ἀκουήν.
ἀλλʼ ἄγε μοι κατάλεξον, ὅπως ἤντησας ὀπωπῆς.“ 44 cf. γ 97
τὴν δʼ αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
„μῆτερ ἐμή, μή μοι γόον ὄρνυθι μηδέ μοι ἦτορ
ἐν στήθεσσιν ὄρινε φυγόντι περ αἰπὺν ὄλεθρον·
ἀλλʼ ὑδρηναμένη, καθαρὰ χροῒ Ϝείμαθʼ ἑλοῦσα, 48 = δ 750
εὔχεο πᾶσι θεοῖσι τεληέσσας ἑκατόμβας 50 cf. 59
ῥεξέμενʼ, αἴ κέ ποθι Ζεὺς ἄντιτα Ϝέργα τελέσσῃ. 51 = 60 cf. β 144
αὐτὰρ ἐγὼν ἀγορήνδε ἐλεύσομαι, ὄφρα καλέσσω
ξεῖνον, ὅ τίς μοι κεῖθεν ἅμʼ ἕσπετο δεῦρο κιόντι.
τὸν μὲν ἐγὼ προέπεμψα σὺν ἀντιθέοισʼ ἑτάροισι,
Πείραιον δέ μιν ἤνωγον προτὶ Ϝοῖκον ἄγοντα
ἐνδυκέως φιλέειν καὶ τιέμενʼ, εἰς ὅ κεν ἔλθω.“ 56 = ο 543
ὣς ἄρʼ ἐφώνησεν, τῇ δʼ ἄπτερος ἔπλετο μῦθος. 57 = τ 29 φ 386 χ 398
ἡ δʼ ὑδρηναμένη, καθαρὰ χροῒ Ϝείμαθʼ ἑλοῦσα, 58 = δ 759
ηὔχετο πᾶσι θεοῖσι τεληέσσας ἑκατόμβας 59 cf. 50
ῥεξέμενʼ, αἴ κέ ποθι Ζεὺς ἄντιτα Ϝέργα τελέσσῃ. 60 = 51
Τηλέμαχος δʼ ἄρʼ ἔπειτα διʼ ἐκ μεγάροιʼ ἐβεβήκει 61 cf. τ 47 υ 144

49 εἰς ὑπερῷʼ ἀναβᾶσα σὺν ἀμφιπόλοισι γυναιξὶ 49 = δ 751

38 φίλῳ] φίλω (πήχεε) legi posse perperam contendit Eust. || πήχεε] πήχεα G F W.

39 φάεα καλὰ] *φάεε καλώ? vid. ad π 15.

40 *Ϝʼ] ῥʼ mss.

41 φάος] vid. ad π 23.

42 ὄψεσθαι ἐφάμην] ἂψ ἐφάμην ὄψεσθ(αι) G U. Vid. ad π 23 sq.

43 ἐμεῖʼ § 92] ἐμεῦ mss. || ἀκουήν] vid. ad β 308.

44] ante vs. 43 posuit F, del. Duentzer.

49] habent G F, post vs. 51 collocant D L, om. P H M X U W n mss. alia.

51 ῥεξέμενʼ § 125] ῥέξειν mss. || ποθι] ποτε U. || ἄντιτα] cf. Ω 213.

52 ἀγορήνδε ἐλεύσομαι Aristoph.] -νδʼ ἐλεύσομαι F, -νδʼ ἐσελεύσομαι H² n (sic Ar.? putat Ludwich), ἀγορὴν ἐσελεύσομαι (ἐπελεύσομαι P) mss. pleraque (cum Zen.?). Vid. ad α 88 ο 504.

54 προέπεμψα] προὔπεμψα mss.

55] om. P W. || ἤνωγον l. a. in schol.] ἠνώγεα (-γεον U¹). Cf. § 225.

57 ἄπτερος] ἔπτερος P. Adi. obscurum nonnisi vss. parallelis redit; veteres aut *celerem* interpretabantur aut *non alatum* (= ἔμμονον *in memoria haerentem*), FWeck ad ἅπτειν referens ἅπτερος scribit (collata locutione Ϝέπεα πτερόεντα, quod Ϝέπεʼ ἀπτερόεντα esse contendit). Cf. Θ 209.

60 ῥεξέμενʼ § 125] ῥέξειν mss. || ποθι] ποτε U. || ἄντιτα] cf. Ω 213.

61 μεγάροιʼ ἐβεβήκει] -ροιο β. mss.; cf. § 59.

ἔγχος ἔχων· ἅμα τῷ γε δύω κύνες ἀργοὶ ἕποντο. 62 = υ 145
θεσπεσίην δ' ἄρα τῷ γε χάριν κατέχευεν Ἀθήνη· 62ᵇ-64 = β 11 sqq.
τὸν δ' ἄρα πάντες λαοὶ ἐπερχόμενον 'θηέοντο.
ἀμφὶ δέ μιν μνηστῆρες ἀγήνορες ἠγερέθοντο
ἔσθλ' ἀγορεύοντες, κακὰ δὲ φρεσὶ 'βυσσοδόμευον. 66 cf. σ 168
αὐτὰρ ὃ τῶν μὲν ἔπειτα ἀλεύατο πολλὸν ὅμιλον,
ἀλλ' ἵνα Μέντωρ ἧστο καὶ Ἄντιφος ἠδ' Ἁλιθέρσης,
οἵ τέ ϝοι ἐξ ἀρχῆς πατρώιοι ἦσαν ἑταῖροι, 69 = β 254
ἔνθα καθέζετ' ἰών· τοὶ δ' ἐξερέεινον ἅπαντα.
τοῖσι δὲ Πείραιος δουρὶ κλυτὸς ἐγγύθεν ἦλθε
ξεῖνον ἄγων ἀγορήνδε διὰ πτόλιν· οὐδ' ἄρ' ἔτι δϝὴν 72ᵇ sq.ᵃ = β 296 sq.
Τηλέμαχος ξείνοιο ϝεκὰς 'τράπετ', ἀλλὰ παρέστη.
τὸν καὶ Πείραιος πρότερος πρὸς μῦθον ἔϝειπε· 74 cf. E 632
„Τηλέμαχ', αἶψ' ὄτρυνον ἐμὸν ποτὶ δῶμα γυναῖκας,
ὥς τοι δῶρ' ἀποπέμψω, ἅ τοι Μενέλαος ἔδωκε."
τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
„Πείραι', οὐ γὰρ ϝίδμεν ὅπως ἔσται τάδε ϝέργα, 78 cf. κ 190
εἴ κεν ἐμὲ μνηστῆρες ἀγήνορες ἐν μεγάροισι 78ᵇ = B 252
λάθρῃ κτείναντες πατρώια πάντα δάσωνται,
αὐτὸν ἔχοντα σὲ βούλομ' ἐπαυρέμεν ἤ τινα τῶνδε·
εἰ δέ κ' ἐγὼ τούτοισι φόνον καὶ κῆρα φυτεύσω, 82ᵇ cf. β 165
δὴ τότε μοι χαίροντι φέρειν πρὸς δώματα χαίρων."
ὣς ϝειπὼν ξεῖνον ταλαπείριον ἦγεν ἐς οἶκον.
αὐτὰρ ἐπεί ῥ' ἵκοντο δόμους εὖ ναιετάοντας, 85 sq. = 178 sq. 85 cf. Z 370 ω 362
χλαίνας μὲν κατέθεντο κατὰ κλισμούς τε θρόνους τε, 86 = υ 249
εἰς δ' ἀσαμίνθους βάντες ἐὺ ξεστὰς 'λούσαντο. 87 cf. K 576 δ 48

---

62 δύω κύνες U n] κύνες πόδας (πόδας om. Y) mss. cett. Cf. β 11.

64 'θηέοντο (θαέοντο) PKnight] θηεῦντο mss.; cf. § 7 et 191. De correpta syllaba θη- vid. § 17.

66 κακὰ — 'βυσσοδόμευον] νόος δέ οἱ ἄλλα μενοίνα P metro invito (cf. β 92 σ 283).

67 μὲν ἔπειτα] ἄλλων μὲν G. || *πολλὸν § 83] πουλὺν vel πολὺν mss.

68 Ἄντιφος] non commemoratur loco parallelo β 253, diasceuastam autem per errorem filium nominare pro patre *Aegyptio* putat Kirchhoff, *Antiphus* enim a Cyclope devoratus esse dicitur β 19. Vid. ad β 15.

70 ἅπαντα l. a. in schol.] ἕκαστα (neglecto ϝ) mss.; ἐξερέοντο ϝέκαστα proponitur apud Nauckium. Cf. τ 463.

71 τοῖσι δὲ] τοῖς δ' ἐπὶ G X D U L W, male, cf. § 59. || ἐγγύθεν ἦλθε] ἀντίον ἦλθεν M, ἀντίον ηὔδα U.

78 γὰρ Bentley] γάρ τ' mss.

83 χαίρων] πατρός X mss. alia.

84 οἶκον] neglecto ϝ, vid. ad ξ 318.

86] del. Grashof, vs. 87 ἐς ῥ' legens.

87 δ'] ῥ' F H²M mss. alia (ut vs. par.). || 'λούσαντο] λοέσαντο? cf. § 295.

τοὺς δ' ἐπεὶ οὖν δμῳαὶ 'λοῦσαν καὶ 'χρῖσαν ἐλαίῳ,
ἀμφὶ δ' ἄρα χλαίνας Ϝούλας 'βάλον ἠδὲ χιτῶνας,
ἔκ ῥ' ἀσαμίνθων βάντες ἐπὶ κλισμοῖσι καθῖζον. — 90b = Θ 436
χέρνιβα δ' ἀμφίπολος προχόῳ ἐπέχευε φέρουσα — 91-95 = α 136 sqq.
καλῇ χρυσείῃ ὑπὲρ ἀργυρέοιο λέβητος,
νίψασθαι· παρὰ δὲ ξεστὴν ἐτάνυσσε τράπεζαν.
σῖτον δ' αἰδοίη ταμίη παρέθηκε φέρουσα,
εἴδατα πόλλ' ἐπιθεῖσα, χαριζομένη παρεόντων.
μήτηρ δ' ἀντίον ἷζε παρὰ σταθμὸν μεγάροιο — 96a cf. Ι 218
κλισμῷ κεκλιμένη, λέπτ' ἠλάκατα στροφάουσα.
οἳ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον. — 98 sq. = Ι 91 sq.
αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον εἶντο,
τοῖσι δὲ μύθων ἦρχε περίφρων Πηνελόπεια·
„Τηλέμαχ', ἦ τοι ἐγὼν ὑπερώιον εἰσαναβᾶσα — 101b-104a = τ 594 sqq.
λέξομαι εἰς εὐνήν, ἥ μοι στονόεσσα τέτυκται, — 101b = Β 514
αἰεὶ δάκρυσ' ἐμοῖσι πεφυρμένη, ἐξ οὗ Ὀδυσσεὺς — 103a cf. σ 173
ᾤχεθ' ἅμ' Ἀτρεΐδησ' εἰς Ϝίλιον. οὐδέ μοι ἔτλης,
πρὶν ἐλθεῖν μνηστῆρας ἀγήνορας εἰς τόδε δῶμα,
νόστον σοῦ πατρὸς σάφα Ϝειπέμεν', εἴ ποθ' ἄκουσας."
τὴν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
„τοιγὰρ ἐγώ τοι, μῆτερ, ἀληθείην καταλέξω. — 108 cf. π 226
ᾠχόμεθ' εἴς τε Πύλον καὶ Νέστορα ποιμένα λαῶν·
δεξάμενος δέ με κεῖνος ἐν ὑψηλοῖσι δόμοισι
ἐνδυκέως ἐφίλει, ὡς εἴ τε πατὴρ ἑϜὸν υἱὸν
ἐλθόντα χρόνιον νέον ἄλλοθεν· ὣς ἐμὲ κεῖνος
ἐνδυκέως ἐκόμιζε σὺν υἱάσι κυδαλίμοισι.
αὐτὰρ Ὀδυσσῆος ταλασίφρονος οὔ ποτ' ἔφασκε
ζῳοῖ' οὐδὲ θανόντος ἐπιχθονίων τε' ἀκοῦσαι,

88 *'λοῦσαν*] *'λόεσαν*? cf. § 295. || *ἐλαίῳ*] *λίπ' ἐλαίῳ* X D L W; fuitne l. a. *ἐπεὶ οὖν 'λοῦσάν τε καὶ ἔχρισαν λίπ' ἐλαίῳ*? Sed melius servatur *δμῳαί*.

89 *χλαίνας Ϝούλας*] *οὔλας χλαίνας* G.

90 *ἀσαμίνθων*] *-νθου* mss. multa.

95 *παρεόντων*] vid. ad α 140.

97 *στροφάουσα* § 191 et 248] *στροφῶσα* D, *στρωφῶσα* mss. cetera.

99 *εἶντο*] *ἕντο* mss.

101-104] suspecti WCKaysero.

104 *Ἀτρεΐδησ' εἰς*] *Ἀτρείδῃσιν ἐς* mss.

106 *ποθ'* § 322] *που* (*τευ* G U) mss.

110 *με κεῖνος*] *μ' ἐκεῖνος* mss. pleraque; cf. § 97.

111 *υἱὸν*] sic Ar., *υἷα* G F P H n mss. alia, *παῖδα* Zen. (*ἑὸ παῖδα* eum scripsisse probabiliter suspicatur Ludwich, vid. ad Ξ 118).

112 *χρόνιον*] †; idem valet *δεκάτῳ ἐνιαυτῷ* π 18. || *ἄλλοθεν*] *-θι* G. || *ἐμὲ κεῖνος*] *ἔμ' ἐκεῖνος* G; cf. § 97.

114 *ταλασίφρονος*] *μεγαλήτορος* U.

115 *ζῳοῖ'* § 59] *ζωοῦ* mss. || *οὐδὲ θανόντος*] *οὐδ' ἐλθόντος* P. || *τε'* § 99] *τευ* mss.

ἀλλά μ' ἐς Ἀτρεΐδην δουρὶ κλειτὸν Μενέλαον
ἵπποισι προέπεμψε καὶ ἅρμασι κολλητοῖσι. | 117 cf. Ψ 286
ἔνθ' Ἑλένην Ϝίδον Ἀργεΐην, ἧς εἵνεκα πολλὰ
Ἀργέιοι Τρῶές τε θεῶν ἰότητ' ἐμόγησαν. 119 = μ 190
εἴρετο δ' αὐτίκ' ἔπειτα βοὴν ἀγαθὸς Μενέλαος,
οὗ τεο χρηίζων ἱκόμην Λακεδαίμονα δῖαν·
αὐτὰρ ἐγὼ τῷ πᾶσαν ἀληθείην κατέλεξα.
καὶ τότε δή με Ϝέπεσσιν ἀμειβόμενος προσέϜειπε· 123 cf. δ 461
„ὢ πόποι, ἦ μάλα δὴ κρατερόφρονος ἀνδρὸς ἐν εὐνῇ 124-141 = δ 333 sqq.
ἤθελον εὐνηθήμεν' ἀνάλκιδες αὐτοὶ ἐόντες.
ὡς δ' ὁπότ' ἐν ξυλόχῳ ἔλαφος κρατεροῖο λέοντος
νεβροὺς κοιμήσασα νεηγενέας γαλαθηνοὺς
κνημοὺς ἐξερέῃσι καὶ ἄγκεα ποιήεντα
βοσκομένη, ὃ δ' ἔπειτα ἑϜὴν εἰσήλυθεν εὐνήν,
ἀμφοτέροισι δὲ τοῖσιν ἀϜεικέα πότμον ἐφῆκε·
ὣς Ὀδυσεὺς κείνοισιν ἀϜεικέα πότμον ἐφήσει.
αἲ γάρ, Ζεῦ τε πάτερ καὶ Ἀθηναίη καὶ Ἄπολλον,
τοῖος ἐών, οἷός ποτ' ἐϋ κτιμένῃ ἐνὶ Λέσβῳ
ἐξ ἔριδος Φιλομηλεΐδῃ ἐπάλαισεν ἀναστάς,
κὰδ δ' ἔβαλε κρατερῶς, κεχάροντο δὲ πάντες Ἀχαιοί,
τοῖος ἐὼν μνηστῆρσιν ὁμιλήσειεν Ὀδυσσεύς·
πάντες κ' ὠκύμοροί τε γενοίατο πικρόγαμοί τε.
ταῦτα δ', ἅ μ' εἰρωτᾷς καὶ λίσσεαι, οὔ κεν ἐγώ γε
ἄλλα παρ' ἐκ Ϝείποιμι παρακλιδὸν, οὐδ' ἀπατήσω·
ἀλλὰ τὰ μέν μοι ἔϜειπε γέρων ἅλιος νημερτής,
τῶν οὐδέν τοι ἐγὼ κρύψω Ϝέπος οὐδ' ἐπικεύσω.
'φῆ μιν ὅ γ' ἐν νήσῳ Ϝιδέμεν κρατέρ' ἄλγε' ἔχοντα

117 *προέπεμψε*] *προύπεμψε* mss.
118 sq.] del. PKnight.
118 *Ἑλένην Ϝίδον Ἀργείην* Grashof] *ἴδον Ἀργείην Ἑλένην* mss.; *ἔνθα Ϝίδον καλὴν Ἑλένην* Naber fortasse melius, epitheton enim *Ἀργεΐη* alias ante nomen *Ἑλένη* collocatur. || *πολλὰ*] *πολλοί* mss. complura.
119 *ἰότητ' ἐμόγησαν*] *ἰότητι μόγησαν* (*δάμησαν* G U L W Z) mss.
121 **οὗ τευ*] *ὅτευ* vel *ὅττευ* mss.; cf. § 102 et α 124.
122 *πᾶσαν ἀληθείην*] *πάντα κατὰ μοῖραν* n.
123 *με Ϝέπεσσιν*] *μ' ἐπέεσσιν* mss.

124-146] e libro δ interpolatos censet Friedlaender. Sed si delentur, lacunae signum eorum loco est ponendum. Bothe del. vs. 126-137; in codice H signo S (i. e. obelo?) notati sunt vs. 122, 124, 126, 135, 140, 147; F in marg. habet vs. 133-135. Vid. ad vs. 31 sqq.
124-141] vid. ad locum parall.
129 *δ' ἔπειτα*] *δέ τ' ὦκα* G X n mss. alia; eadem discrepantia est δ 338.
139 *ἄλλα*] *ἄλλο* G.
142 *'φῆ μιν*] *φησὶν* U. || *ὅ γ'*] *ὅδ'* F M. || *Ϝιδέμεν* § 126] *ἰδέειν* mss.

νύμφης ἐν μεγάροισι Καλυψόος, ἥ μιν ἀνάγκῃ 143-146 = δ 557 sqq.
ἴσχει· ὃ δ' οὐ δύναται ϝὴν πατρίδα γαῖαν ἱκέσθαι.
οὐ γάρ ϝοι πάρα νῆες ἐπήρετμοι καὶ ἑταῖροι,
οἵ κέν μιν πέμποιεν ἐπ' εὐρέα νῶτα θαλάσσης.'
ὣς ἔφατ' Ἀτρεΐδης δουρὶ κλειτὸς Μενέλαος.
ταῦτα τελευτήσας 'νεόμην· ἔδοσαν δέ μοι οὖρον 148 sq. = δ 585 sq.
ἀθάνατοι, τοί μ' ὦκα φίλην εἰς πατρίδ' ἔπεμψαν."
ὣς 'φάτο, τῇ δ' ἄρα θυμὸν ἐνὶ στήθεσσιν ὄρινε. 150 = Γ 395
τοῖσι δὲ καὶ μετέϝειπε Θεοκλύμενος θεοϝειδής· 151 = υ 350
„ὦ γύναι αἰδοίη Λαερτιάδα' Ὀδυσῆος, 152 = τ 165, 262, 336, 583
ἤ τοι ὅ γ' οὐ σάφα ϝοῖδεν, ἐμεῖο δὲ σύνθεο μῦθον· 153ᵇ = τ 268
ἀτρεκέως γάρ τοι μαντεύσομαι οὐδ' ἐπικεύσω. 154 cf. τ 269
ϝίστω νῦν Ζεὺς πρῶτα θεῶν ξενίη τε τράπεζα 155 sq. = ξ 158 sq.
ἱστίη τ' Ὀδυσῆος ἀμύμονος, ἣν ἀφικάνω,
ὡς ἦ τοι Ὀδυσεὺς ἤδη ἐν πατρίδι γαίῃ,
ἥμενος ἢ ἕρπων, τάδε πευθόμενος κακὰ ϝέργα
159 ἔστιν, ἀτὰρ μνηστῆρσι κακὸν πάντεσσι φυτεύει." 159 cf. ο 178
162 τὸν δ' αὖτε προσέϝειπε περίφρων Πηνελόπεια· 162-165 = τ 308 sqq.
„αἲ γὰρ τοῦτο, ξεῖνε, ϝέπος τετελεσμένον εἴη· 163-165 = ο 536 sqq.
τῷ κε τάχα γνοίης φιλότητά τε πολλά τε δῶρα
ἐξ ἐμέθεν, ὥς τίς σε συναντόμενος μακαρίζοι."
ὣς οἳ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον·

---

160 *οἷον ἐγὼν οἰωνὸν ἐυσσέλμοι' ἐπὶ νηὸς*
ἥμενος ἐφρασάμην καὶ Τηλεμάχῳ ἐγέγωνον.

150-165 quidam —; in „melioribus" solos vs. 160 sq. obelum habuisse adnotat Didymus, hos igitur Ar. —, cf. Ludwich Arist. I p. 619. In codice n obelis notati sunt vs. 150 et 152-166.

---

143 *Καλυψόος* § 77] *-ψοῦς* mss.

147-165] del. PKnight, unum vs. 158 Duentzer.

150 *τῇ — ὄρινε*] non suum sensum haec obtinere, alias enim significare *eam (eum) permovit ut... faceret* observat Hartman; conferri tamen possunt ξ 361 ο 486. || *τῇ*] *τῆς* G X n.

152 *Λαερτιάδα'* § 55] *-δεω* mss.

153 *μῦθον*] *μύθων* F¹ P H M¹ mss. alia non recte, cf. *Η* 44 α 328 υ 92.

154 *τοι* U n Eust.] *σοι* mss. cetera.

155 *ξενίη τε τράπεζα*] *ὕπατος καὶ ἄριστος* G (cf. τ 303).

156 *ἱστίη*] *ἑστίη* F W; *ϝεστίη*? vid. ad ξ 159.

158 *πευθόμενος*] l. a. *-σόμενος*.

159 *ἔστιν, ἀτὰρ μνηστῆρσι*] *πάντεσσι μνηστῆρσι* P; **αὐτὰρ μνηστήρεσσι*? An versus delendus?

160 *οἷον*] *τοῖον* X n. Cf. ξ 326 τ 295. || *ἐυσσέλμοι'* § 59] *-λμου* mss.

161 *ἐγέγωνον* § 260] *ἐγεγώνευν* (*-νεον* G², *ἐγέγωνεν* P) mss., quod fortasse spurio hoc loco non erat corrigendum, quoniam vim quoque verbum h. l. habet a lingua epica alienam, tragicorum vero sermoni propriam.

164 *τάχα*] *μάλα* G.

165 **ἐμέθεν, ὥς*] *ἐμεῦ, ὡς ἄν* mss.; vid. ad ο 538.

μνηστῆρες δὲ πάροιθεν Ὀδυσσῆος μεγάροιο 167-169 = δ 625 sqq.
δίσκοισιν ᾽τέρποντο καὶ αἰγανέῃσιν ἱέντες,
ἐν τυκτῷ δαπέδῳ, ὅθι περ πάρος ὕβριν ἔχεσκον.
ἀλλ᾽ ὅτε δὴ δείπνηστος ἔην καὶ ἐπήλυθε μῆλα
πάντοθεν ἐξ ἀγρῶν, οἵ δ᾽ ἤγαγον, οἵ τὸ πάρος περ,
καὶ τότε δή σφιν ἔϝειπε Μέδων — ὃς γάρ ῥα μάλιστα
᾽ϝάνδανε κηρύκων καί σφιν παρεγίγνετο δαιτί —·
„κοῦροι, ἐπεὶ δὴ πάντες ἐτέρφθητε φρέν᾽ ἀέθλων, 174 cf. ϑ 131
ἔρχεσθε πρὸς δώμαθ᾽, ἵν᾽ ἐντυνώμεθα δαῖτα·
οὐ μὲν γάρ τι χέρειον ἐν ὥρῃ δεῖπνον ἑλέσθαι.“
ὣς ἔφαθ᾽· οἳ δ᾽ ἀνστάντες ἔβαν ᾽πείθοντό τε μύθῳ.
αὐτὰρ ἐπεί ῥ᾽ ἵκοντο δόμους ἐὺ ναιετάοντας, 178 sq. = 85 sq.
χλαίνας μὲν κατέθεντο κατὰ κλισμούς τε θρόνους τε· 179-181 = υ 249 sqq.
οἳ δ᾽ ἱέρευον ὄις μεγάλους καὶ πίονας αἶγας,
ἵρευον δὲ σύας σιάλους καὶ βοῦν ἀγελαίην,
δαῖτ᾽ ἐντυνόμενοι. 182ª = γ 33

τοὶ δ᾽ ἐξ ἀγροῖο πόλινδε
ὠτρύνοντ᾽ Ὀδυσεύς τ᾽ ἴμεναι καὶ δῖος ὑφορβός.
τοῖσι δὲ μύθων ἦρχε συβώτης ὄρχαμος ἀνδρῶν·
„ξεῖν᾽, ἐπεὶ ἂρ δὴ ἔπειτα πόλινδ᾽ ἴμεναι μενεαίνεις
σήμερον, ὡς ἐπέτελλε ϝάναξ ἐμός, — ἦ σέ κ᾽ ἐγώ γε
αὐτόθι βουλοίμην σταθμῶν ῥυτῆρα λιπέσθαι·
ἀλλὰ τὸν αἰδέομαι καὶ δέδϝια, μή μοι ὀπίσσω
νεικείῃ· χαλεπαὶ δὲ ϝανάκτων εἰσὶν ὁμοκλαί.
ἀλλ᾽ ἄγε νῦν ἴομεν· δὴ γὰρ μέμβλωκε μάλιστα

181 Aristoph. Ar. ——

167 μεγάροιο] θείοιο n.
169 τυκτῷ] vid. ad δ 627. ‖ ἔχεσκον] ἔχοντες G M U n Eust., sic Ar. versu parall.
170 δείπνηστος] †, cf. δόρπηστος Aristoph. Vesp. 103; δειπνητὸς X U², quod coll. ἀμητός probat Eust. ‖ ἔην] ἔεν? cf. § 302.
173 παρεγίγνετο] comp. †, παρετύγχανε G.
174 ἀέθλων HStephanus] ἀέθλοις mss.; vid. § 60 et ad ϑ 131.
175 δώμαθ᾽] δῶμα P.
177 ἀνστάντες] ἄρα πάντες P. ‖ ᾽πείθοντό τε μύθῳ] ποτὶ οἶκον ἕκαστος P H M mss. alia, οἶκονδε ἕκαστος F (cf. α 424).
181 ἵρευον] ἱέρευον mss.
182 sq.] del. Duentzer.
183 ὠτρύνοντ᾽ G M² U] ὀτρύνοντ᾽ mss. pleraque. ‖ ἴμεναι § 125] ἰέναι mss.
185 δὴ ἔπειτα] vid. ad O 163. ‖ ἴμεναι G U n] ἰέναι mss. cett.; cf. § 125.
186 σέ κ᾽ § 326] σ᾽ ἂν mss.
187 αὐτόθι § 322] αὐτοῦ mss. ‖ σταθμῶν] σταθμῷ U. ‖ λιπέσθαι G P H] γενέσθαι F M X, cf. vs. 223.
189 νεικείῃ] cf. § 286. ‖ δὲ Dawes] δέ τ᾽ mss.
190 δὴ — μάλιστα] Duentzer σοὶ γάρ θ᾽

ἦμαρ, ἀτὰρ τάχα τοι ποτὶ Ϝέσπερα ῥίγιον ἔσται.“
τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
„γιγνώσκω, φρονέω· τά γε δὴ νοέοντι κελεύεις. 193 = π 136
ἀλλ' ἴομεν, σὺ δ' ἔπειτα διαμπερὲς ἡγεμόνευε.
δὸς δέ μοι, εἴ ποθί τοι ῥόπαλον τετμημένον ἐστί,
σκηρίπτεσθ', ἐπεὶ ἦ φάτ' ἀρισφαλέ' ἔμμεναι οὐδόν.“
ἦ ῥα, καὶ ἀμφ' ὤμοισιν ἀϜεικέα 'βάλλετο πήρην, [sq.
πυκνὰ ῥωγαλέην, ἐν δὲ στρόφος ἦεν ἀορτήρ· 197 sq. = σ 108
Εὔμαιος δ' ἄρα Ϝοι σκῆπτρον θυμαρὲς ἔδωκε. 198 = ν 438
τὼ 'βήτην, σταθμὸν δὲ κύνες καὶ βώτορες ἄνδρες
'ρύατ' ὄπισθε μένοντες. ὃ δ' εἰς πόλιν ἦγε Ϝάνακτα [sq. cf. ρ 337 sq.
πτωχῷ λευγαλέῳ ἐναλίγκιον ἠδὲ γέροντι, 202 sq. = ω 157
σκηπτόμενον· τὰ δὲ λυγρὰ περὶ χροΐ Ϝείματ' ἔϜεστο. 202 = π 273 203ᵇ = ψ 67 τ 218
ἀλλ' ὅτε δὴ στείχοντες ὁδὸν κάτα παιπαλόεσσαν
Ϝάστεος ἐγγὺς ἔσαν καὶ ἐπὶ κρήνην ἀφίκοντο
τυκτὴν καλλίροον, ὅθεν ὑδρεύοντο πολῖται, 206ᵇ = η 131
τὴν 'ποίησ' Ἴθακος καὶ Νήριτος ἠδὲ Πολύκτωρ, —
ἀμφὶ δ' ἄρ' αἰγείρων ὑδατοτρεφέων ἔεν ἄλσος
πάντοσε κυκλοτερές, κατὰ δὲ ψυχρὸν 'ρέεν ὕδωρ
ὑψόθεν ἐκ πέτρης, βωμὸς δ' ἐφύπερθ' ἐτέτυκτο
νυμφάων, ὅθι πάντες ἐπερρέζεσκον ὁδῖται, —

ὁδὸν ἡγεμονεύσω deletis vs. 191 et 194. || *μάλιστα*] *aliquantum processit.*

191 *ποτὶ*] *sub*; *ποτί* (*πρός*) de tempore usurpatum †. || *Ϝέσπερα*] *vespertinum tempus*; adi. †, cf. *Ϝέσπερος* X 318 etc., *Ϝεσπέριος* Φ 560 etc. || *ῥίγιον*] hic proprio sensu *frigidius* (vid. ad ε 472), alias (*Α* 325, 563 *Δ* 405 υ 220) translato. In F est *ποτὶ ἕσπερον ἄλγιον ἔσται*, non male, quamquam hoc quoque de *frigore* alias non dicitur.

193 *νοέοντι*] *φρονέοντι* M.

195 *ῥόπαλον*] cum ν 437 ξ 31 hoc non concinere observavit Volkmann.

196 *σκηρίπτεσθ'*] verbum nonnisi λ 595 redit. || *ἀρισφαλέ'*] adi. †, cf. *σφάλλω* ρ 464 etc. Callem *asperam* (cf. ρ 204) nunc *admodum lubricam* reddidit *frigus matutinum* (ρ 25) post pluvias praecedentium dierum (ξ 457 sq.). Vid. ad μ 129 sqq. || *οὐδόν*] pro *ὁδόν viam* † (vid. tamen ad X 60). Parum probabiliter nonnulli statuerunt vocem *οὐδός limen* etiam de *solo* potuisse usurpari ut *οὖδας* (e. g. η 130, vid. ad *Ε* 734), aut de *parietis fundamento* (vid. ad χ 127). Non male *ἀρισφαλὲς ἔμμεναι οὖδας* l. a. apud Eust. et Hesych.; an **ἀρισφαλέ' ἔμμεν' ἀταρπόν* (cf. *Ρ* 743 ξ 1)?

198 *πυκνὰ*] vid. § 26 et ad *Ε* 358. || *στρόφος*] cf. ν 438.

199 *θυμαρὲς*] *θυμῆρες* F mss. alia; vid. ad κ 362.

202 sq.] del. Kirchhoff.

203 *Ϝείματ' ἔϜεστο*] *εἵματα ἕστο* mss. pleraque, *εἵματ' ἕστο* F P, *εἵματ' ἔχοντα* M.

204 *ὁδὸν κάτα παιπαλόεσσαν*] *ἔβαν δόμον εἰς Ὀδυσῆος* G (cf. π 407).

206-211] spurii videri possunt, sed quominus damnemus obstat vs. 240.

208 *ὑδατοτρεφέων*] *-τροφέων* i; adi. †. De populis aquae amantibus cf. *Δ* 482 sqq. ι 140 sq. κ 509 sq. || *ἔεν* § 2 et 30 1] *ἦν* mss.

211 *ἐπερρέζεσκον* Barnes] *ἐπι(ρ)ρέζεσκον* mss.; comp. †.

ἔνθα σφώ' ἐκίχανεν υἱὸς Δολίοιο Μελανθεὺς [sq.
αἶγας ἄγων, αἳ πᾶσι μετέπρεπον αἰπολίοισι, 213 sq. = υ 174
δεῖπνον μνηστήρεσσι· δύω δ' ἅμ' ἕποντο νομῆες. 214^b = Σ 525
τοὺς δὲ Ϝιδὼν 'νείκεσσε Ϝέπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζε
ἔκπαγλον καὶ ἀϜεικές· ὄρινε δὲ κῆρ Ὀδυσῆος·
„*νῦν μὲν δὴ μάλα πάγχυ κακὸς κακὸν ἡγηλάζει,*
ὡς αἰεὶ τὸν ὁμοῖον ἄγει θεὸς εἰς τὸν ὁμοῖον.
πῇ δὴ τόνδε μολοβρὸν ἄγεις, ἀμέγαρτε συβῶτα, 219 cf. φ 362
πτωχὸν ἀνιηρὸν, δαιτῶν ἀπολυμαντῆρα; 220 cf. 377
πολλῇσι φλιῇσι παραστὰς φλίψεται ὤμους,
αἰτίζων ἀκόλους, οὐκ ἄορα οὐδὲ λέβητας.
τόν γ' εἴ μοι δοίης σταθμῶν ῥυτῆρα γενέσθαι
σηκοκόρον τ' ἔμεναι θαλλόν τ' ἐρίφοισι φορῆναι,
καί κεν ὀρὸν πίνων μεγάλην ἐπιγουνίδα θεῖτο.
ἀλλ' ἐπεὶ οὖν δὴ Ϝέργα κάκ' ἔμμαθεν, οὐκ ἐθελήσει 226-228 cf. σ 362 sqq.

---

212 *σφώ'* (*σφω*) Fick] *σφεας* mss., vid. § 8 et 93. ‖ *ἐκίχανεν* G P] *ἐκίχαν'* vel *ἔκιχεν* mss. pleraque. Inutilis videtur coniectura *ἐκίχῃ* (cf. § 208), vid. *E* 334 *P* 189. ‖ *υἱὸς*] cf. § 17. ‖ *Δολίοιο*] vid. ad *δ* 735. ‖ *Μελανθεὺς*] notetur duplex nominis forma *Μελανθεύς* et *Μελάνθιος* (*ϱ* 247 etc.).

213 sq.] del. Duentzer.

216] del. Bekker.

217 *ἡγηλάζει*] sic Aristoph. Ar.; alii olim *ἡγηλάζεις* (vid. ad *β* 41), quae reicienda videtur lectio. Verbum nonnisi *λ* 618 redit.

218] recentis aetatis esse videtur versus gnomicus, in quo articulus uterque suspicionem movet. ‖ *εἰς* G P M^1 X D] *ὡς* mss. pleraque, quae vocula apud Homerum (aliosve poetas exceptis comicis) ita non usurpatur.

219 *μολοβρὸν*] vox ignotae originis nonnisi *σ* 26 redit; nomen proprium est Thuc. IV 8, CIG. 1511 (= IGA. 69). ‖ *ἀμέγαρτε*] *non invidende*, i. e. *miser*. Item (*ϱ* 375?) *φ* 362 h. Merc. 542; alias adi. non de *hominibus* sed de *rebus* tristibus usurpatur (*λ* 400, 407, v. l. *B* 420).

220 *ἀπολυμαντῆρα*] nonnisi vs. 377 redit; vid. ad *A* 313 sq.

221 *πολλῇσι φλιῇσι* Fick] *ὃς πολλῇσι* aut *ὃς πολλῇς* (vid. § 57) *φλιῇσι* mss. Vox *φλιή* †, *postis* (alias *σταθμός*); apud posteros iota est longum. Nauck *ὃς πολλῇσι θύρῃσι*, Christ (proleg. Iliad. p. 142) *ὃς πολέσιν φλιῇσι* (vid. § 53). ‖ *φλίψεται* H^1 X U mss. alia] *φλίζεται* G, *θλίψεται* mss. pleraque; utramque lectionem norunt Alexandrini, sed utram Zen. praetulerit, utram Ar., incertum est (vid. Ludwich Arist. I p. 619). Verbum †, cf. RMeister Dialect. I p. 119; propter annominationem praeferenda videtur littera Φ. ‖ *ὤμους*] l. a. *ἦτορ*.

222 *ἀκόλους*] vox †, incertae originis et potestatis; cf. Callim. h. Cer. 115. ‖ *ἄορα* l. a. in schol. et Eust.] *ἄορά γ'* P H, *ἄορας* mss. cetera. Pluralis hoc uno loco legitur; ad sensum cf. *φ* 341. Non *gladios* significari sed aliud quid, quod suspendi soleat aut possit (*οὔατα οὐκ ἔχοντας τρίποδας*), fuere qui putarent; alii cum *ὄαρας* confundentes interpretabantur *mulieres* (Apoll. lex. Eust. Hesych. Suid.).

223-228] del. Bergk.

223 *γ'* IHVoss] *κ'* mss. ‖ *γενέσθαι*] *λιπέσθαι* P H mss. alia; cf. vs. 187.

224 *σηκοκόρον*] †, *qui stabulum* (*σηκόν* Σ 589 etc.) *verrit*, cf. *κορῆσαι* *υ* 149. ‖ *θαλλόν*] †, cf. *θάλος* X 87 etc. ‖ *φορῆναι*] cf. § 195.

225 *ὀρὸν*] cf. *ι* 222. L. a. *θορὸν* (*κέ θ' ὀρὸν*?). ‖ *μεγάλην ἐπιγουνίδα*] *pingue femur*. Vox *ἐπιγουνίς* redit *σ* 74.

226 *κάκ' ἔμμαθεν*] *μάθεν κακὰ* Nauck, item

ϝέργον ἐποίχεσθαι, ἀλλὰ πτώσσων κατὰ δῆμον
βούλεται αἰτίζων βόσκειν ϝὴν γαστέρ' ἄναλτον.
ἀλλ' ἔκ τοι ϝερέω, τὸ δὲ καὶ τετελεσμένον ἔσται· 229 = *B* 257
αἴ κ' ἔλθῃ πρὸς δώματ' Ὀδυσσῆος θείοιο, 230 cf. ο 313
πολλά ϝοι ἀμφὶ κάρη σφέλα' ἀνδρῶν ἐκ παλαμάων
πλευρά τ' ἀποτρίψουσι δόμον κάτα βαλλομένοιο.“
ὣς 'φάτο, καὶ παριὼν λὰξ ἔνθορεν ἀφραδίηφι
ἰσχίῳ· οὐδέ μιν ἐκτὸς ἀταρπιτοῦ ἐστυφέλιξε,
ἀλλ' ἔμεν' ἀσφαλέως. ὃ δ' ἐμερμήριξεν Ὀδυσσεύς,
ἠὲ μεταΐξας ῥοπάλῳ ἐκ θυμὸν ἕλοιτο,
ἢ πρὸς γῆν ἐλάσειε κάρη ἀμφουδὶς ἀείρας·
ἀλλ' ἐπετόλμησε, φρεσὶ δ' ἔσχετο. τὸν δὲ συβώτης
'νείκεσ' ἐς ἄντα ϝιδών, μέγα δ' ηὔξατο χεῖρας ἀνασχών·
„νύμφαι κρηναῖαι, κοῦραι Διός, εἴ ποτ' Ὀδυσσεὺς 240-242 cf. *Δ* 39 sqq.
ὔμ' ἐπὶ μηρί' ἔκηε καλύψας πίονι δημῷ
ϝαρνῶν ἠδ' ἐρίφων, τὸ δέ μοι κρηήνατ' ἐϝέλδωρ,
ὡς ἔλθοι μὲν κεῖνος ἀνήρ, ἀγάγοι δέ ϝε δαίμων· 243 = φ 201
τῷ κέ τοι ἀγλαΐας γε διασκεδάσειεν ἁπάσας,
τὰς νῦν ὑβρίζων φορέεις, ἀλαλημένος αἰεὶ
ϝάστυ κάτ'· αὐτὰρ μῆλα κακοὶ φθείρουσι νομῆες.“

μάθες κακὰ σ 362; vid. § 27. ‖ *ἐθελήσει*] *ἐθέλησιν* (an *-σεν*?) X D Z (cf. Σ 396).

228 *ἄναλτον*] i. e. *ἄν-αλδ-τον* (§ 211), *inexpletum, insatiabilem*; adi. redit σ 114 et 364, cf. *ἀλδάνω* σ 70 ω 368, *ἀλδήσκω* Ψ 599.

231 *ἀμφὶ κάρη*] perperam *ἀμφικάρη* vel *ἀμφικαρῆ* F P X D Apoll. lex. (Ptolemaeus Asc.) et olim alii. Adverbium est *ἀμφὶ* (cf. Z 117 σ 335), *κάρη* autem obiectum est verbi *ἀποτρίψουσι*. ‖ *σφέλα'* § 72] *σφέλα* mss.; vox σ 394 redit, cf. *θρῆνυς* Ξ 240 etc.

232 *πλευρά τ'* Bothe] *πλευρὰ* P, *πλευραὶ* mss. cett., *πλευρὰς* (metro invito) l. a. apud Eust. Requiritur acc., qui apud Hom. aut *πλευραί* est (Υ 170 Ψ 716 Ω 10 h. Merc. 157) aut *πλευρά* (hic et Δ 468 Λ 437); non recte autem Briggs *πλευρά γ'*, Bekker *πλευρί'*, iungenda enim sunt *κάρη πλευρά τε*, *caput et latera atterentur scabellis*. ‖ *ἀποτρίψουσι*] comp. † (simplex et *διατρ.* saepius, Υ 496 Δ 42 etc.); Naber *ἀποδρύψουσι* coll. ϱ 480. ‖ *βαλλομένοιο*] de genitivo vid. ad ζ 157.

233 *ἀφραδίηφι*] *-ῃσιν* mss. ‖ In F subiungitur *ἦλθεν ἐσυμένως μεγάλην σοφίην ἀνιχνεύων*.

237 *γῆν*] forma novicia, vid. § 58. ‖ *ἀμφουδὶς*] *ἀμφ' οὖδας* mss. multa, *ἀμφ' οὖασ'* Bothe. Adv. †, quod non a voce *οὖδας* (cf. κ 440) sed ab *οὖας* (§ 72) ductum esse et *ambabus auribus* significare iure statuit Fick. ‖ *ἀείρας*] *ἐρείσας* M Apoll. lex. et l. a. apud Eust.

238 *δ' — συβώτης*] *γὰρ κέχρητ' ἀγαθῇσι* G (cf. γ 266).

239 *'νείκεσ' ἐς*] *νείκεσεν ἐς* F, *νείκεσεν* Camerarius.

240 *κρηναῖαι*] †, cf. *νηΐς* Z 22 etc. et vid. κ 350.

241 *ὔμ'* § 92] *ὔμμ'* mss. ‖ *πίονι*] *ἀργέτι* F M mss. alia; cf. Λ 818 et X 501. In G est *πίονα δημόν*.

244 *ἀγλαΐας*] l. a. *ἀτασθαλίας* (cf. α 34 etc.), quae reicienda est propter verba *διασκιδνάναι* et *φορέειν*. Pluralis *ἀγλαΐαι* (*deliciae*) redit h. Merc. 476, vid. etiam ad τ 82. ‖ *διασκεδάσειεν*] translate adhibitum †, proprio sensu E 526 ε 370 η 275.

245 *ὑβρίζων φορέεις*] *ὑβρίζεις φορέων* U.

τὸν δ' αὖτε προσέϝειπε Μελάνθιος αἰπόλος αἰγῶν·
„ὢ πόποι, οἷον ἔϝειπε κύων ὀλοφώια ϝειδὼς,
τόν ποτ' ἐγὼν ἐπὶ νηὸς ἐυσσέλμοιο μελαίνης
ἄξω τῆλ' Ἰθάκης, ἵνα μοι βίοτον πολὺν ἄλφῃ.
αἲ γὰρ Τηλέμαχον βάλοι ἀργυρότοξος Ἀπόλλων
σήμερον ἐν μεγάροισ' ἢ ὑπὸ μνηστῆρσι δαμείη,
ὡς Ὀδυσῆί γε τῆλε ἀπώλετο νόστιμον ἦμαρ.“ 253ᵇ cf. α 354
| ὣς ϝειπὼν τοὺς μὲν 'λίπεν αὐτόθι ἦκα κιόντας· 254ᵃ = Δ 292
αὐτὰρ ὃ 'βῆ, μάλα δ' ὦκα δόμους ἵκανε ϝάνακτος.
αὐτίκα δ' εἴσω ἴεν, μετὰ δὲ μνηστῆρσι καθῖζε
ἀντίον Εὐρυμάχου· τὸν γὰρ 'φιλέεσκε μάλιστα.
τῷ παρὰ μὲν κρεάων μοῖραν 'θέσαν οἳ 'πονέοντο, 258 cf. υ 281
σῖτον δ' αἰδοίη ταμίη παρέθηκε φέρουσα 259 = α 139
ἔδμεναι.

ἀγχίμολον δ' Ὀδυσεὺς καὶ δῖος ὑφορβὸς
'στήτην ἐρχομένω, περὶ δέ σφεας ἦλθε ϝιωὴ 261ᵇ cf. Κ 139
φόρμιγγος γλαφυρῆς· ἀνὰ γάρ σφισι 'βάλλετ' ἀείδειν
Φήμιος. αὐτὰρ ὃ χειρὸς ἑλὼν προσέϝειπε συβώτην·
„Εὔμαι', ἦ μάλα δὴ τάδε δώματα κάλ' Ὀδυσῆος·
ῥεῖα δ' ἀρίγνωτ' ἐστὶ καὶ ἐν πολλοῖσι ϝιδέσθαι. 265ᵃ cf. Ο 490
ἐξ ἑτέρων ἕτερ' ἐστὶν, ἐπήσκηται δέ ϝοι αὐλὴ
τοίχῳ καὶ θριγκοῖσι, θύραι δ' ἐυϝεργέες εἰσὶ
δικλίδες· οὔ κέν τίς μιν ἀνὴρ ὑπεροπλίσσαιτο.

---

247 *Μελάνθιος*] -θεύς G. Vid. ad vs. 212.
248 *ὀλοφώια*] vid. ad δ 410.
250 *ἄλφῃ* GHermann] *ἄλφοι* mss.
252 *μεγάροισ'*] -ρῳ H² M¹. ‖ *ἢ*] insolite corripitur, cf. § 16; **ἢ μνηστήρεσσι*? cf. γ 90 λ 621 sq. ω 100 etc.
253 *ὡς*] cf. Θ 538. ‖ *τῆλε* § 322] *τηλοῦ* mss.
254 *αὐτόθι* G F M U] *αὐτοῦ* mss. pleraque; cf. § 322.
257 *ἀντίον*] -ος U¹; vid. ad Z 54. ‖ *Εὐρυμάχου· τὸν*] **Εὐρυμάχοιο· δ*? de maiore enim natu aut dignitate *φιλέειν* dici solet (cf. Γ 388 η 171). Vulgata vert. *hunc enim prae ceteris procis colebat*; cf. α 435. Amabat Eurymachus Melanthii sororem (vid. σ 325).
258 *κρεάων* § 72] *κρειῶν* mss.
261 *δέ*] sic Ar.? *γάρ* U. ‖ *ἦλθε* WCKayser] *ἤλυθ'* mss.
262 *ἀνὰ . . . 'βάλλετ'*] vid. ad α 155. ‖ *γάρ*] *δέ* mss. multa.
263 *ὃ*] *Ulixes*.
266 *ἐπήσκηται*] *elaborata* (*ornata*) *est*. Comp. † (simplex Γ 388 etc.).
267 *θριγκοῖσι*] vid. ad η 87. ‖ *ἐυεργέες* H¹ U] *ἐυερκέες* mss. pleraque et Apoll. lex., quod ipsius *aulae* alias est epitheton (Ι 472 φ 389 χ 449); *ἐυεργής* redit Ε 585 etc. Utrumque Didymus (Aristarchus?) in scholiis et Eust.
268 *οὔ κέν* G] *οὐκάν* P, *οὐκ ἄν* mss. cetera, cf. § 326. ‖ *μιν*] *τὴν αὐλήν*? Ipsam domum intellegunt Apoll. lex. et Eust. ‖ *ὑπεροπλίσσαιτο*] comp. † (simplex Η 417 etc., ἐφ. Δ 344 etc.); *violaret, expugnaret* (sic Ar.)? An *vilipenderet* (cf. *ὑπέροπλον* Ο 185 Ρ 170, *ὑπεροπλίῃ* Α 205)?

γιγνώσκω δ' ὅτι πολλοὶ ἐν αὐτῷ δαῖτα τίθενται
ἄνδρες· ἐπεὶ κνίση μὲν ἀνήνοθεν, ἓν δέ τε φόρμιγξ
ἠπύει, ἣν ἄρα δαιτὶ θεοὶ 'ποίησαν ἑταίρην."
| τὸν δ' ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·
„ῥεῖ' ἔγνως, ἐπεὶ οὐδὲ τά τ' ἄλλα πέρ ἐσσ' ἀνοήμων.
ἀλλ' ἄγε δὴ φραζώμεθ' ὅπως ἔσται τάδε Ϝέργα· 274 cf. Δ 14 274ᵇ = Β 252
ἠὲ σὺ πρῶτος ἔσελθε δόμους ἐὺ ναιετάοντας, 275ᵇ = Ζ 370
δύσεο δὲ μνηστῆρας, ἐγὼ δ' ὑπολείψομαι αὖθι· 276ᵇ = 282 ι 44
εἰ δ' ἐθέλεις, ἐπίμεινον, ἐγὼ δ' εἶμι προπάροιθε. 277ᵃ = Τ 142
μηδὲ σὺ δηθύνειν, μή τίς σ' ἔκτοσθε νοήσας
ἢ βάλῃ ἢ ἐλάσῃ· τὰ δέ σε φράζεσθαι ἄνωγα." 279ᵇ cf. α 269
τὸν δ' ἠμείβετ' ἔπειτα πολύτλας δῖος Ὀδυσσεύς·
„γιγνώσκω, φρονέω· τά γε δὴ νοέοντι κελεύεις. 281 = π 136
ἀλλ' ἔρχευ προπάροιθεν, ἐγὼ δ' ὑπολείψομαι αὖθι, 282ᵇ = 276
οὔ τι πληγάων ἀδαήμων οὐδὲ βολάων.
τολμήεις μοι θυμός, ἐπεὶ κακὰ πολλὰ πέπονθα
κύμασι καὶ πολέμῳ· μετὰ καὶ τόδε τοῖσι γενέσθω. 285 = ε 224
γαστέρα δ' οὔ πως ἔστιν ἀποκρύψαι μεμαυῖαν, 286ᵃ cf. Τ 225
ὀλομένην, ἣ πολλὰ κάκ' ἀνθρώποισι δίδωσι, 287 cf. 474
τῆς ἕνεκεν καὶ νῆες ἐύζυγοι ὁπλίζονται
πόντον ἔπ' ἀτρύγετον κακὰ δυσμενέεσσι φέρουσαι."
ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον.
ἂν δὲ κύων κεφαλήν τε καὶ οὔατα κείμενος ἔσχε
Ἄργος, Ὀδυσσῆος ταλασίφρονος, ὅν ῥά ποτ' αὐτὸς
'θρέψε μέν, οὐδ' ἀπόνητο, πάρος δ' εἰς Ϝίλιον ἱρὴν 293 cf. λ 324
ᾤχετο. τὸν δὲ πάροιθεν ἀγίνεσκον νέοι ἄνδρες

9 τίθενται] πένονται P (cf. β 322).
0 ἀνήνοθεν] ἐνήνοθεν Ar. H¹ M n. Vid.
5 et ad Β 219 Δ 266.
1 δαιτὶ ... ἑταίρην] cf. α 152 θ 99.
3 ἐσσ'] sic mss. h. l.; vid. § 302.
6 δύσεο] δῦσε (i. e. δῦσαι) P H M; cf.
2. || αὖθι § 322] αὐτοῦ mss.
1 νοέοντι] φρονέοντι M K.
2 ἔρχευ] forma novicia, cf. § 117; *ἀλλ'
ὺ (vel δή)? an *ἔρχεο δὲ (δή)? Hartman
σὺ μέν. Cf. ϱ 22 ψ 254. || αὖθι § 322]
mss.
οὔ τι πληγάων Fick] οὐ γάρ τι (τοι M¹)
ων mss.; cf. § 56.

284 κακὰ πολλὰ] δὴ πολλὰ M J, fortasse recte; πολλὰ κακὰ P H U¹ metro invito. || πέπονθα] -νθε X D.
285] del. Kirchhoff.
286] similis est sententia η 216 sqq. γαστέρα ἀποκρύψαι hoc loco significat: *imperiosa stomachi iussa* (cf. ζ 133 σ 53 etc.) sive *famem dissimulare*. || ἀποκρύψαι] ἀποπλῆσαι Clemens Alexandrinus Strom. VI 743 non recte.
287 ὀλομένην § 21] οὐλομένην mss.
288 ἐύζυγοι] vid. ad Β 293.
289 φέρουσαι] φυτεῦσαι F (cf. ξ 218).
293 οὐδ' ἀπόνητο] cf. λ 324.

αἶγας ἔπ' ἀγροτέρας ἠδὲ πρόκας ἠδὲ λαγωούς·
δὴ τότ' ἔκειτ' ἀπόθεστος ἀποιχομένοιο ϝάνακτος
ἐν πολλῇ κόπρῳ, ἥ ϝοι προπάροιθε θυράων
ἡμιόνων τε βοῶν τε ϝάλις 'κέχυτ', ὄφρ' ἀνάγοιεν
δμῶες Ὀδυσσῆος τέμενος μέγα κοπρίσσοντες.
δὴ τότε γ', ὡς ἐνόησεν Ὀδυσσέα ἐγγὺς ἐόντα,
οὐρῇ μέν ῥ' ὅ γ' ἔσηνε καὶ οὔατα κάββαλεν ἄμφω,
ἆσσον δ' οὐκέτ' ἔπειτα 'δυνήσατο ϝοῖο ϝάνακτος
ἐλθέμεν'. αὐτὰρ ὃ νόσφι ϝιδὼν ἀπομόρξατο δάκρυ, 304ᵇ cf. *B.* 269
ῥεῖα λαθὼν Εὔμαιον, ἄφαρ δ' ἐρεείνετο μύθῳ· 305ᵇ cf. *K* 81
„Εὔμαι', ἦ μάλα θαῦμα· κύων ὅδε κεῖτ' ἐνὶ κόπρῳ.
καλὸς μὲν δέμας ἐστίν, ἀτὰρ τόδε γ' οὐ σάφα ϝοῖδα,
ἢ δὴ καὶ ταχὺς ἦσκε θέειν ἐπὶ ϝείδεϊ τῷδε,
ἦ αὔτως οἷοί τε τραπεζῆες κύνες ἀνδρῶν
γίγνοντ', ἀγλαΐης δ' ἕνεκεν κομέουσι ϝάνακτες."
τὸν δ' ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·
„καὶ λίην ἀνδρός γε κύων ὅδε τῆλε θανόντος
εἰ τοιόσδ' εἴη ἠμὲν δέμας ἠδὲ καὶ ἔργα, 313ᵇ cf. *Δ* 115
οἷόν μιν Τροίηνδε κιὼν κατέλειπεν Ὀδυσσεύς, 314 cf. *π* 289
αἶψά κε θηήσαιο ϝιδὼν ταχυτῆτα καὶ ἀλκήν.
οὐ μὲν γάρ τι 'φύγεσκε βαθείης τάρφεσιν ὕλης 316ᵇ = *E* 555

300 *ἔνθα κύων 'κεῖτ' Ἄργος ἐνίπλειος κυνοραιστέων.*

295 *πρόκας*] *πρῶκας* F, l. a. *πτῶκας* (metro invito). Vox †, cf. *προκάς* h. Ven. 71; *damas*? vid. ad *ξ* 50.

296-300] del. Bothe.

296 *δὴ τότ'*] vid. ad *ν* 92. || *ἀπόθεστος*] †, *abiectus* (= ἀ-πόθεστος § 295, cf. *ἀμέγαρτος*). || *ἀποιχομένοιο ἄνακτος* X] *-νοιο Ὀδυσῆος* F H, *-νου Ὀδυσῆος* G P M U n mss. alia.

298 *ὄφρ' ἀνάγοιεν*] *ὄφρ' ἂν ἄγοιεν* mss. pleraque (om. *ἂν* F); cf. *ω* 334; WCKayser *εἷος* (*ἧος*) *ἄγοιεν* (cf. *ψ* 151), vHerwerden *ὄφρ' ἀπάγοιεν* (*auferrent*).

299 *κοπρίσσοντες* H² M¹] *-ίσοντες* vel *-ήσοντες* mss. pleraque; cf. § 210. Verbum †, cf. *κόπρος* *Σ* 575 etc.

300] del. Fick. || *κυνοραιστέων*] †; de genitivi forma novicia cf. § 56 et *Π* 591 *Σ* 220.

301 *Ὀδυσσέα*] *Ὀδυσσῆ'* G n, fortasse recte, vid. § 76; huius nominis vocalis *η* praeter hunc locum nonnisi *Δ* 491 corripitur (vid. etiam *ζ* 212).

302 *οὐρῇ*] *οὐρὴν* G. || *οὔατα*] **οὔατε*? vid. ad *π* 15. || *κάββαλεν*] *κάμβ.* mss. multa, cf. *ζ* 172 et § 10.

304 *ϝιδὼν*] *κιὼν* G, *ἰὼν* F M.

305 *ῥεῖα*] hinc alienum esse observat Hartman. || *ἐρεείνετο*] *-νατο* H. || *μύθῳ*] *μῦθον* F.

306 *μάλα*] *μέγα* n. || *ἐνὶ*] *ἐπὶ* U.

308 *ἦ* § 327] *εἰ* mss. || *ἦσκε*] *ἔσκε* mss.

309 *τραπεζῆες κύνες*] cf. *X* 69.

312] colon in fine versus sustulit Bekker.

313 *ἔργα*] neglecto *ϝ*. PKnight *τε ϝέργα*.

316 *τάρφεσιν* l. a. in schol.] *βένθεσιν* (*ἔντοσθεν* U) mss.; quod alias (*Α* 358 etc.) de *maris* profundis tantummodo dicitur, hic autem post *βαθείης* molestum est; *τάρφεα ὕλης* extat *E* 555 *O* 606.

κνώδαλον, ὅττι δίοιτο· καὶ ἴχνεσι γὰρ περὶ ʼϝείδει.
νῦν δʼ ἔχεται κακότητι, ϝάναξ δέ ϝοι ἄλλοθι γαίης   318ᵇ cf. β 131
ὤλετο, τὸν δὲ γυναῖκες ἀκηδέες οὐ κομέουσι."   [υ 371
ὣς ϝειπὼν εἰσῆλθε δόμους ἐὺ ναιετάοντας,   324 = φ 242 cf.
ʼβῆ δʼ ἰθὺς μεγάροιο μετὰ μνηστῆρας ἀγανούς.   324ᵇ = Z 370
Ἄργον δʼ αὖ κατὰ μοῖρʼ ἔλαβεν μέλανος θανάτοιο
αὐτίκʼ ἰδόντʼ Ὀδυσῆα ἐϝεικοστῷ ἐνιαυτῷ.

τὸν δὲ πολὺ πρῶτος ʼϝίδε Τηλέμαχος θεοϝειδὴς   328 = α 113
ἐρχόμενον κατὰ δῶμα συβώτην, ὦκα δʼ ἔπειτα
ʼνεῦσʼ ἐπὶ ϝοὶ καλέσας. ὃ δὲ παπτήνας ἕλε δίφρον
κείμενον, ἔνθα τε δαιτρὸς ἐφίζεσκε κρέα πολλὰ
δαιόμενος μνηστῆρσι δόμον κάτα δαινυμένοισι·
τὸν κατέθηκε φέρων πρὸς Τηλεμάχοιο τράπεζαν
ἀντίον, ἔνθα δʼ ἄρʼ αὐτὸς ἐφέζετο. τῷ δʼ ἄρα κῆρυξ
μοῖραν ἑλὼν ἐτίθει κανέου τʼ ἐκ. σῖτον ἀείρας.
ἀγχίμολον δὲ μετʼ αὐτὸν ἐδύσετο δώματʼ Ὀδυσσεὺς
πτωχῷ λευγαλέῳ ἐναλίγκιος ἠδὲ γέροντι,   337 sq. cf. 202 sq.
σκηπτόμενος· τὰ δὲ λυγρὰ περὶ χροῒ ϝείματʼ ἔϝεστο.   338ᵇ = Ψ 67
ἷζε δʼ ἐπὶ μελίνοιʼ οὐδοῖʼ ἔντοσθε θυράων

320 δμῶες δʼ, εὖτέ κε μηκέτʼ ἐπικρατέωσι ϝάνακτες,
οὐκέτʼ ἔπειτʼ ἐθέλουσιν ἐναίσιμα ϝεργάζεσθαι·
ἥμισυ γάρ τʼ ἀρετῆς ἀποαίνυται εὐρύϝοπα Ζεὺς
ἀνέρος, εὖτέ κέ μιν κατὰ δούλιον ἦμαρ ἕλῃσι.

317 *κνώδαλον*] *belua*; vox ignotae originis redit h. Merc. 188. ‖ *δίοιτο*] § 199; *ἴδοιτο* G F mss. alia repugnante versus exitu. ‖ *ἴχνεσι γὰρ περὶ ʼϝείδει*] *ἴχνεσσιν γὰρ ὀπήδει* (e *πήδει* corruptum) schol. Plat. Axioch. ‖ *περὶ ʼϝείδει* § 160] *περιήδει* (-*δη* mss.; Nauck *περιῄεν*.

318 *ϝοι*] *που* F. ‖ *γαίης* M] *πάτρης* mss. cett., quod ferri potest, si legimus **δʼ ἄρα τηλόθι πάτρης*. Cf. *β* 131.

320-323] del. Bekker.

320 *εὖτέ κε* § 326] *εὖτʼ ἂν* mss.

322 sq. *τʼ* (om. G U) *ἀρετῆς ἀποαίνυται … ἀνέρος, εὖτέ κέ μιν*] *τε νόου ἀπαμείρεται … ἀνδρῶν, οὓς ἂν δὴ* Eust., item Plat. Leg. 777*a* Athen. VI 264 (vid. § 271).

323 *εὖτέ κέ* § 326] *εὖτʼ ἂν* mss. ‖ *δούλιον*] adi. novicium, vid. ad *Γ* 409.

326 sq.] iure damnasse videtur PKnight; solum vs. 327 delet Fick.

326 *μοῖρʼ ἔλαβεν*] *μοῖρα λάβεν* F.

327 *ἰδόντʼ*] neglecto ϝ; Bekker *αὖθι, ϝιδόντʼ*. ‖ *ἐϝεικοστῷ ἐνιαυτῷ*] insolitam hanc in cane longaevitatem notavit Aristoteles in Hist. Anim. VI 20, item Aelian. Hist. Anim. IV 40.

331 *ἔνθα τε* Bekker] *ἔνθα δὲ* aut *ἐνθάδε* mss.; vid. ad *Θ* 48.

334 sq.] damnat Hartman.

334 *ἀντίον*] *πλησίον* U. ‖ *δʼ ἄρʼ*] *περ* P H M mss. alia. ‖ *αὐτὸς*] *ipse* (*quoque*), exadversus Telemachum. ‖ *ἐφέζετο*] *ἐφίζετο* H.

335 *ἐτίθει*] *προτίθει* M n (cf. *α* 112 *Ω* 409).

336 *ἐδύσετο*] -*σατο* G P[1] H[1] M. ‖ *δώματʼ Ὀδυσσεὺς*] *δῶμʼ Ὀδυσῆος* schol. T ad *Π* 820.

338 *ϝείματʼ ἔϝεστο*] *εἵματα ἕστο* mss.

339 *μελίνοιʼ* § 59] *μελίνου* mss.; *fraxinei*.

κλινάμενος σταθμῷ κυπαρισσίνῳ, ὃν ποτε τέκτων
'ξέσσεν ἐπισταμένως καὶ ἐπὶ στάθμην ἴθυνε. 341 = φ 44 cf. ι 245
Τηλέμαχος δ' ἐπὶ Ϝοὶ καλέσας προσέϜειπε συβώτην
ἄρτον τ' οὖλον ἑλὼν περικαλλέος ἐκ κανέοιο
καὶ κρέας, ὥς Ϝοι χεῖρες ἐχάνδανον ἀμφιβαλόντι·
„δὸς τῷ ξείνῳ ταῦτα φέρων αὐτόν τε κέλευε
αἰτίζειν μάλα πάντας ἐποιχόμενον μνηστῆρας· 346 = 351
αἰδὼς δ' οὐκ ἀγαθὴ κεχρημένον ἄνδρα κομίζειν.“ 347 cf. 352 Hes. Oper. 317, 500.
ὣς 'φάτ'· ἔβη δὲ συφορβός, ἐπεὶ τὸν μῦθον ἄκουσε, 348 sq.* = 551 sq.
ἄγχι δέ Ϝ' ἱστάμενος Ϝέπεα πτερόεντ' ἀγόρευε· 348 = 574 cf. B 16 349 cf. Δ 203
„Τηλέμαχός τοι, ξεῖνε, διδοῖ τάδε καί σε κελεύει
αἰτίζειν μάλα πάντας ἐποιχόμενον μνηστῆρας· 351 = 346
αἰδόα δ' οὐκ ἀγαθὴν φήσ' ἔμμεναι ἀνδρὶ προΐκτῃ.“ 352 cf. 347
τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
„Ζεῦ Ϝάνα, Τηλέμαχόν μοι ἐν ἀνδράσιν ὄλβιον εἶναι,
καί Ϝοι πάντα γένοιτο ὅσα φρεσὶ Ϝῇσι μενοινᾷ.“
ἦ ῥα, καὶ ἀμφοτέρῃσιν ἐδέξατο καὶ κατέθηκε
αὖθι ποδῶν προπάροιθεν, ἀϜεικελίης ἐπὶ πήρης·
ἤσθιε δ' ἦος ἀοιδὸς ἐνὶ μεγάροισιν ἄειδε.
εὖθ' ὃ 'δεδειπνήκειν, — ὃ δ' ἐπαύετο θεῖος ἀοιδός, —
μνηστῆρες δ' ὁμάδησαν ἀνὰ μέγαρ'. αὐτὰρ Ἀθήνη 360 cf. α 365

359 Ar. —

Alias dicitur *μείλινος* (*hastarum* epitheton, *E* 655 etc.); Nauck *δρυΐνου* coll. φ 43 (ubi vid.). ‖ *οὐδοῖ'* § 59] *οὐδοῦ* mss.

340 *κυπαρισσίνῳ*] †, cf. *κυπάρισσος* ε 64.

343 *ἄρτον*] vox σ 120 redit; *panem* tostum e *farina* (quae *ἀλείατα* dicitur υ 108). Cf. adi. *πυρνός* (ο 312 ρ 12, 362). ‖ *οὖλον*] *integrum* (Att. *ὅλον*); item ω 118 h. Merc. 113 (vid. etiam ad τ 225).

344 *κρέας*] *κρέα* U (cf. vs. 331). ‖ *ὥς*] *ὅσσ'* Axt (probabilius poterat *κρέ', ὅσον*). ‖ *ἀμφιβαλόντι*] l. a. *-λόντε* (*χεῖρε . . . ἀμφιβαλόντε?*).

347] om. n in textu. ‖ *κεχρημένον ἄνδρα κομίζειν* G] *κεχρημένῳ ἀνδρὶ παρεῖναι* (*προΐκτῃ* U Eust. Suid. et l. a. in G) mss. cett., l. a. *αἰδῶ δ' οὐκ ἀγαθὴν φήσ' ἔμμεναι ἀνδρὶ προΐκτῃ*, quae lectiones e vs. 352 sunt natae; cum G concinunt versus Hesiodei. Vert. *pudor non utilis est ad virum egenum fovendum*; conferri possunt locutiones *τὰ κάκ' ἐστὶ φίλα φρεσὶ μαντεύεσθαι* (*A* 107), *ἀργαλέος Ὀλύμπιος ἀντιφέρεσθαι* (*A* 589) aliae.

348 *'φάτ'· ἔβη*] *φάτο· βῆ* mss.

349 **ἄγχι δέ Ϝ'(οι)*] *ἀγχοῦ δ'* mss.; cf. § 318. ‖ *πτερόεντ' ἀγόρευε*] *-ντα προσηύδα* G^2 F X mss. alia.

350-352] in marg. habet G.

352 *αἰδόα* § 77] *αἰδῶ* mss. ‖ *προΐκτῃ*] *mendico*; vs. 449 redit vox, quam ex *προικέτης* contractam esse putabant quidam, alii ad *προΐκος* (ν 15 ρ 413) recte referebant; vid. schol. et ad ν 15.

354 *εἶναι*] de infinitivi usu vid. § 124.

355 *γένοιτο ὅσα*] *γένοιθ' ὅσσα* mss. multa; vHerwerden *γενέσθαι ὅσα*. Cf. *A* 20.

358-364] del. Duentzer, vs. 360-364 Kirchhoff, vs. 365 *βῆ ῥ' ἴμεν* scribens.

358 *ἦος* § 323] *ἕως* (*ὡς*) *ὅτ'* mss.

359 *δεδειπνήκειν*] sic Ar. ‖ *ἐπαύετο*] *-σατο* X n mss. alia. ‖ *θεῖος*] *δῖος* Nauck.

ἄγχι παρισταμένη Λαερτιάδην Ὀδυσῆα 361 = π 455
ὤτρυν', ὥς κεν πυρνὰ κατὰ μνηστῆρας ἀγείροι
γνοίη θ', οἵ τινές εἰσιν ἐναίσιμοι οἵ τ' ἀθέμιστοι·
ἀλλ' οὐδ' ὧς τιν' ἔμελλ' ἀπαλεξήσειν κακότητος.
'βῆ δ' ἴμεν' αἰτήσων ἐνδέξια φῶτα Ϝέκαστον,
πάντοσε χεῖρ' ὀρέγων, ὡς εἰ πτωχὸς πάλαι εἴη.
οἳ δ' ἐλεαίροντες 'δίδοσαν καὶ ἐθάμβεον αὐτὸν
ἀλλήλους τ' εἴροντο, τίς εἴη καὶ πόθεν ἔλθοι. 368 cf. ο 423
τοῖσι δὲ καὶ μετέϜειπε Μελάνθιος αἰπόλος αἰγῶν·
„κέκλυτέ μοι, μνηστῆρες ἀγακλειτῆς βασιλείης, 370 = 468 σ 351 φ 275
τοῦδε περὶ ξείνοι'· ἦ γάρ μιν πρόσθεν ὄπωπα.
ἦ τοι μέν Ϝοι δεῦρο συβώτης ἡγεμόνευε,
αὐτὸν δ' οὐ σάφα Ϝοῖδα, πόθεν γένος εὔχεται εἶναι.“
ὧς ἔφατ'· Ἀντίνοος δ' ἔπεσιν 'νείκεσσε συβώτην·
„ὦ ἀμέγαρτε συβῶτα, τίη δὲ σὺ τόνδε πόλινδε
ἤγαγες; οὐ Ϝάλις ἦμιν ἀλήμονες εἰσὶ καὶ ἄλλοι,
πτωχοὶ ἀνιηροί, δαιτῶν ἀπολυμαντῆρες; 377 cf. 220
ἦ ὄνοσαι, ὅτι τοι βίοτον κατέδουσι Ϝάνακτος
ἐνθάδ' ἀγειρόμενοι, σὺ δὲ καὶ προτὶ τόνδ' ἐκάλεσσας;“
τὸν δ' ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·
„Ἀντίνο', οὐ μὲν καλὰ καὶ ἐσθλὸς ἐὼν ἀγορεύεις· 381[a] = 483 381[b] = Π 627
τίς γὰρ δὴ ξεῖνον καλεῖ ἄλλοθεν αὐτὸς ἐπελθὼν
ἄλλον γ', εἰ μὴ τῶν οἳ δημιοϜεργοὶ ἔασι, 383[b] = τ 135

---

362 *κεν* § 326] *ἂν* mss. || *πυρνὰ*] vid. ad *ο* 312.

363 *θ'*] *δ'* G F M X mss. alia. || *εἰσιν*] *εἶεν* F male, cf. § 109.

364 *ἔμελλ'*] *ἔμελλεν* U. || *ἀπαλεξήσειν*] *ἀπαλλάξειν* U[3] (quod epicum non est verbum). || *κακότητος*] *κακότητα* F D non male, cf. *δ* 167; **τιν(ι) ἔμελλεν ἀλεξήσειν κακότητα*? cf. *Υ* 315 *Φ* 374. Comp. etiam *Χ* 348 *Ω* 371 extat.

365 *ἐνδέξια*] cf. *Α* 597.

368 *εἴροντο*] *ἤροντο* X mss. alia; cf. § 264. || *εἴη . . . ἔλθοι*] de optativo vid. § 109.

370 **μοι*] *μευ* mss.; vid. § 92 et ad *Α* 37.

371 *ξείνοι'* § 59] *ξείνου* mss. || *μιν πρόσθεν*] *πρόσθε(ν) μιν* G F P X U n mss. alia.

374 *ἔπεσιν*] neglecto *Ϝ*; Bekker *αἰσχρῶς* coll. *Ψ* 473 *σ* 321 *Ν* 768, PKnight *δὲ Ϝέπεσσιν ἐνείκεσ'* (*'νείκεσ'*, vid. § 3) *ὑφορβόν*. || *'νείκεσσε*] *νείκεσκε* U.

375 **ὦ ἀμέγαρτε*] *o miser*, vid. ad *ρ* 219; *ἀρίγνωτε* F, *ὠρίγνωτε* (i. e. *ὦ ἀρίγνωτε*) mss. cetera invitis metro (vid. § 9) et sententia, nam *ἀρίγνωτος* est *agnitu facilis* (cf. *Ν* 72 *Ο* 490 *δ* 207 *ζ* 108 *ρ* 265).

376 *οὐ* Nauck] *ἦ οὐχ* mss.; cf. § 8. || *ἀλήμονες*] *errones*; vox redit *τ* 74, cf. *ἀλήτης* *ξ* 124 etc.

377] del. Kirchhoff. || *ἀπολυμαντῆρες*] cf. vs. 220.

378 *ὄνοσαι*] *non satis censes*; vid. ad *Ω* 241. || *βίοτον*] *σῖτον* G.

379 *προτὶ*] *ποθι* (Ar.?) F M X mss. alia; *ποτὶ* G.

382 *καλεῖ*] **'κάλεσ'*? Cf. § 191.

383-391] del. PKnight.

383] apud Aristot. Polit. VIII 3 sic affertur: *ἀλλ' οἷον μὲν* (Bekker *ἀλλοῖον μέν γ'*) *ἔστι*

μάντιν ἢ ἰητῆρα κακῶν ἢ τέκτονα δούρων
ἢ καὶ θέσπιν ἀοιδόν, ὅ κεν τέρπῃσιν ἀείδων;
οὗτοι γὰρ κλητοί γε βροτῶν ἐπ' ἀπείρονα γαῖαν·
πτωχὸν δ' οὔ κέν τις καλέοι τρύξοντά μιν αὐτόν.
ἀλλ' αἰεὶ χαλεπὸς περὶ πάντων εἰς μνηστήρων
δμωσὶν Ὀδυσσῆος, περὶ δ' αὖτ' ἐμοί· αὐτὰρ ἐγώ γε
οὐκ ἀλέγω, ἧός μοι ἐχέφρων Πηνελόπεια
ζώει ἐνὶ μεγάρῳ καὶ Τηλέμαχος θεοϝειδής."
τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
„σίγαε, μή μοι τοῦτον ἀμείβεο πολλὰ ϝέπεσσι·
Ἀντίνοος δ' εἴωθε κακῶς ἐρεθιζέμεν αἰεὶ
μύθοισιν χαλεποῖσιν, ἐποτρύνει δὲ καὶ ἄλλους."
ἦ ῥα, καὶ Ἀντίνοον ϝέπεα πτερόεντα προσηύδα·
„Ἀντίνο', ἦ μεο καλὰ πατὴρ ὣς κήδεαι υἷος, [sq.
ὃς τὸν ξεῖνον ἄνωγας ἀπὸ μεγάροιο δίεσθαι — 398ᵇ sq. = υ 343
μύθῳ ἀναγκαίῳ· μὴ τοῦτο θεὸς τελέσειε. — 399ᵇ cf. η 316
δός ϝοι ἑλών· οὔ τοι φθονέω· κέλομαι γὰρ ἐγώ γε. [sq.
μήτ' οὖν ἅζεο μητέρ' ἐμὴν τό γε μήτε τιν' ἄλλον. — 401ᵇ sq. = σ 416
ἀλλ' οὔ τοι τοιοῦτον ἐνὶ στήθεσσι νόημα· — 403 cf. η 309
αὐτὸς γὰρ φαγέμεν πολὺ βούλεαι ἢ δόμεν ἄλλῳ."
τὸν δ' αὖτ' Ἀντίνοος ἀπαμειβόμενος προσέϝειπε·
„Τηλέμαχ' ὑψαγόρη, μένος ἄσχετε, ποῖον ἔϝειπες; — 406 = β 85

